UNIVERSITÄTS BIBLIOTHEK WUPPERTAL

BERGISCHE UNIVERSITÄT WUPPERTAL

Universitätsbibliothek Wuppertal

Demosthenis Et Aeschinis, Principum Græciæ Oratorum Opera

Demosthenes

Aureliae Allobrogum, 1607

Appellatio contra Eubulidem

Nutzungsrichtlinien Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1565

Visual Library

παραδοῦναι τὰς θεραπαίνας· τὴν δὲ πρόκλησιν εἶναι, ἣν παρέχεται Ἀπολλόδωρος. λέγε δὴ αὐτὴν τὴν πρόκλησιν, ἣν προὐκαλούμην ἐγὼ Στέφανον τουτονί.

A noluiſſe ancillas tradere. denunciationem autē eam eſſe, quam exhibeat Apollodorus. Age recita ipſas conditiones quas Stephano tuli.

Πρόκλησις.

Τάδε προὐκαλεῖτο Ἀπολλόδωρος Στέφανον, περὶ ὧν τὴν γραφὴν γέγραπται, Νέαιραν ξένην οὖσαν ἀστῷ συνοικεῖν, ἕτοιμος ὢν τὰς θεραπαίνας παραλαμβάνειν τὰς Νεαίρας, ἃς ἐκ Μεγάρων ἔχουσα ἦλθε, Θρᾷτταν καὶ Κοκκαλίνην, καὶ ἃς ὕστερον παρὰ Στεφάνῳ ἐκτήσατο Ξεννίδα καὶ Δροσίδα, τὰς εἰδυίας ἀκριβῶς περὶ τῶν παίδων τῶν ὄντων Νεαίρᾳ, ὅτι μὴ ἐκ Στεφάνου εἰσί, Πρόξενός τε ὁ τελευτήσας, καὶ Ἀρίστων ὁ νῦν ὤν, καὶ Ἀντιδωρίδης ὁ σταδιοδρομῶν, καὶ Φανώ, ἐφ᾽ ᾧ τε βασανίσαι αὐτάς· καὶ εἰ μὲν ὁμολογοῖεν ἐκ Στεφάνου εἶναι καὶ Νεαίρας τούτους τοὺς παῖδας, πεπρᾶσθαι Νέαιραν κατὰ τοὺς νόμους, καὶ τοὺς παῖδας ξένους εἶναι· εἰ δὲ μὴ ὁμολογοῖεν ἐκ ταύτης εἶναι αὐτούς, ἀλλ᾽ ἐξ ἑτέρας γυναικὸς ἀστῆς, ἀφίστασθαι τοῦ ἀγῶνος ἤθελον τοῦ κατὰ Νεαίρας· καὶ εἴ τι ἐκ τῶν βασάνων βλαφθείησαν αἱ ἄνθρωποι, ἀποτίνειν ὅτι B βλαβείησαν. ταῦτα προκαλεσαμένου ἐμοῦ, ἄνδρες δικασταί, Στέφανον τουτονί, οὐκ ἠθέλησε δέξασθαι. οὐκοῦν ἤδη δοκεῖ ὑμῖν δεδικάσθαι ὑπ᾽ αὐτοῦ Στεφάνου τουτουί, ὦ ἄνδρες δικασταί, ὅτι ἔνοχός ἐστι τῇ γραφῇ Νέαιρα, ἣν ἐγὼ αὐτὴν ἐγραψάμην, καὶ ὅτι ἐγὼ μὲν ἀληθῆ εἴρηκα πρὸς ὑμᾶς, καὶ τὰς μαρτυρίας παρεσχόμην ἀληθεῖς. οὑτοσὶ δ᾽ ὅ,τι ἂν λέγῃ, ἅπαντα ψεύσεται, καὶ ἐξελέγξει αὐτὸς αὑτόν, ὅτι οὐδὲν ὑγιὲς λέγει, οὐκ ἐθελήσας παραδοῦναι εἰς βασάνους τὰς θεραπαίνας, ἃς ἐγὼ ἐξῄτουν αὐτόν. ἐγὼ μὲν οὖν, ὦ ἄνδρες δικασταί, καὶ τοῖς θεοῖς εἰς οὓς οὗτοι ἠσεβήκασι, καὶ ἐμαυτῷ τιμωρῶν, κατέστησά τε τουτουσὶ εἰς ἀγῶνα, καὶ ὑπὸ τὴν ὑμετέραν ψῆφον ἤγαγον. καὶ ὑμᾶς δὲ χρή, νομίσαντας μὴ λήσειν τοὺς θεούς, εἰς οὓς οὗτοι παρανενομήκασιν, ὅ,τι ἂν ἕκαστος ὑμῶν ψηφίσηται, ψηφίσασθαι τὰ δίκαια καὶ τιμωρεῖν μάλιστα μὲν τοῖς θεοῖς, ἔπειτα δὲ καὶ ὑμῖν αὐτοῖς. καὶ ταῦτα ποιήσαντες, δόξετε πᾶσι καλῶς καὶ δικαίως δικάσαι ταύτην τὴν γραφήν, ἣν Νέαιραν ἐγὼ ἐ- C γραψάμην, ξένην οὖσαν ἀστῷ συνοικεῖν.

DENVNCIATIO.

Has cōditiones tulit Apollodorus Stephano earum rerum cauſa, propter quas actionem aduerſus eam inſtituerit: Neæram peregrinam eſſe, & ciui nupſiſſe, paratus ad quæſtionem accipere ancillas Neæræ, quas illa Megaris ſecum adduxit, Thrattam & Coccalinam: & quas deinde apud Stephanum comparauit, Xēnidem & Droſidem, quæ rem ſatis cognitam haberent de Neæræ liberis, eos non Stephani eſſe, Proxenum defunctum, & Ariſtonem ſuperſtitem, & Antidoridem curſorem, & Phanonem. Quæ ſi faterentur, è Stephano & Neæra eos eſſe liberos: vendendam Neæram, vt iubeant leges, & liberos pro peregrinis habendos. Sin eos non ex iſta, ſed ex alia muliere ciue eſſe dicerent: deſiſtere voluit ab actione contra Neæram inſtituta: Et, ſi quid calamitatis in tormentis mulierculis accidiſſet, penſare damnum. Has ego conditiones, Iudices, quum Stephano tulerim, repudiauit. Proinde iam ipſe Stephanus ſuapte ſententia Neæram eorum criminum, quorum eſt è me accuſata, condemnauit, & me vera dixiſſe apud vos, & teſtimonia vera exhibuiſſe, ſe verò quæ dixerit omnia mentiri, & à ſeipſo conuinci vanitatis confitetur, poſtquam ancillas à me poſtulatas, ad quæſtionem dare noluit. Ego verò, iudices, & deorum, quos iſti violarunt, & meopte nomine pœnas exigens: iſtos in iudicium vocaui, veſtræque autoritati ſubieci. Decet autem vos quoque exiſtimare, non clàm fore deos, in quos iſti impij fuerunt, quid veſtrûm vnuſquiſque decernat: & ita pronunciare, vt iuſtitia flagitat, ac vlciſci diis maximè factam contumeliam, deinde vobis etiam ipſis. Quæ ſi feceritis: omnes hanc cauſam, qua ego Neæram peregrinam ciui nuptam accuſaui, præclarè & iuſtè diiudicaſſe exiſtimabunt.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΕΥβουλίδην λόγου.

Γράφεται νόμος παρ᾽ Ἀθηναίοις, γενέσθαι ζήτησιν πάντων τῶν ἐγγεγραμμένων τοῖς ληξιαρχικοῖς γραμματείοις, εἴτε γνήσιοι πολῖταί εἰσιν, εἴτε μή· τοὺς δὲ μὴ γεγονότας ἐξ ἀστοῦ καὶ ἐξ ἀστῆς ἐξαλείφεσθαι. διαψηφίζεσθαι δὲ περὶ πάντων τοὺς δημότας· καὶ τοὺς μὲν ἀποψηφισθέντας καὶ ἐμμείναντας τῇ ψήφῳ τῶν δημοτῶν, ἐξαληλίφθαι, καὶ εἶναι μετοίκους· τοῖς δὲ βουλομένοις, ἔφεσιν εἰς δικαστὰς δεδόσθαι, κἂν μὲν ἁλῶσι, καὶ παρὰ τῷ δικαστηρίῳ, πεπρᾶσθαι· ἐὰν δὲ ἀποφύγωσιν, εἶναι πολίτας. κατὰ τοῦτον τὸν νόμον τοῦ Ἀλιμουσίων δήμου διαψηφιζομένου, ἀποψηφίζεται Εὐξίθεός τις. φάσκων δὲ ἑαυτὸν * ὑπὸ Εὐβουλίδου, ἐχθροῦ ὄντος, κατεστασιάσθαι, ἐφῆκεν εἰς τὸ δικαστήριον, καὶ ἐπιδεικνύει ἑαυτὸν ἐξ ἀστοῦ καὶ ἐξ ἀστῆς. εἰ δὲ ἐτίτθευσεν ἡ μήτηρ μου, δι᾽ ἀπορίαν τοῦτ᾽ ἐποίησεν. ὁ δὲ πατὴρ ἐξένισε τῇ γλώττῃ, αἰχμάλωτος γενόμενος καὶ πραθείς· δεῖ δὲ μὴ τὰ ἀτυχήματα προφέρειν, ἀλλὰ τὰ γένη ζητεῖν.

ARGVMENTVM ORATIONIS contra Eubulidem.

SCribitur lex apud Athenienſes, vt inquiſitio fiat in eos omnes, qui ſint in album ciuitatis inſcripti, ciués ne germani ſint, an non. & vt ij qui non & patre & matre ciue nati deleantur: vtque municipes de omnibus ſententiam ferant, & qui improbati fuerint, & ſententiam municipum ratam habuerint, deleti inter inquilinos cenſeantur: iis verò qui velint, liceat appellare iudicium. Qui ſi etiam in iudicio conuincantur, vendendos. ſin abſoluantur, ciues eſſe. Ex hac lege, Alimuſio populo iudicante, improbatur Euxitheus quidam. Is, cum ſe Eubulidis inimici factione oppreſſum eſſe diceret, appellauit iudices, & oſtendit, ſe & patre & matre ciue eſſe natum. Quòd ſi mater mea inquit, mercenarias operas fecit, ex inopia id fecit. Pater autem peregrinius loquutus eſt, quòd & captus & venditus fuit. Neque verò calamitates exprobrandæ, ſed genera exquirenda ſunt.

DEMOSTHENIS APPELLATIO CONTRA EVBVLIdem, Hieronymo Vvolſio interprete.

A

Inſinuatio ne beneuolentiam captat: perſtringit aduerſarium. præiudicium municipum eleuat.

QVum Eubulides multa falſo nobis obiecerit, & conuicia neque vera, neque iuſta fecerit: operam dabo, vt vera & iuſta dicendo, Iudices, oſtendam, & ius eſſe nobis ciuitatis, & indignè ab iſto me tractatum eſſe. Oro autem vos omnes, Iudices, obſecro & obteſtor, vt & magnitudine cauſæ huius conſiderata, & ignominia, cum qua, qui condemnantur, etiam pereunt, me quoque tacitè audiatis: maximè, ſi fieri poteſt, maiore cum beneuolentia quàm iſtum (par enim eſt, vt in periculo cõſtitutis melius cupiatis) ſin minus, certè cum pari. Fit autem, Iudices, cũ vos intueor, & ius B ciuitatis habere me cõſidero, vt ſecuro animo ſim, & magnam ſpem victoriæ cõcipiam: ſed tempora, & ciuitatis in condemnando iracundiam formidẽ. Nam cum ex omnibus municipiis iurè multi ſint expulſi: eadem eſt de nobis etiã, quos factiones oppreſſere, opinio: & propter illorum condemnationem, in maiore, quàm pro ſe quiſque, periculo verſamur. Quare fieri nequit aliter, quin magno in metu ſim⁹. Quæ quanquam ita ſunt: ea tamen quæ in his ipſis æqua ſunt, primùm vobis dicam. Ego iis qui peregrinitatis conuincuntur, ſuccenſendum eſſe exiſtimo: qui vobis neque perſuaſis, neque exoratis, clam & vi, ſacris & republica veſtra ſunt vſi. Sed calamitoſis hominib. ſéque ciues eſſe oſtendentibus opem ſalutémque ferendam: & cogitandum, cum in ſontibus nobis miſerrimè actum iri, ſi, cũ veſtra quibuſdam autoritate pœnæ meritò infligantur, nos C vnà inter eos cenſeamur, & propter inuidiam ipſius rei, iniuriam patiamur. Equidem putabam, Iudices, decere Eubulidem, & omnes eos, qui nunc in abrogãdo iure ciuitatis accuſationes factitant: ea quæ cõperta haberent dicere, néque vllum rumorem in tale iudicium afferre. Id enim vſque adeò iniuſtum eſſe olim etiam leges ſtatuerunt, vt audita teſtificari leges ſinant ne in leuibus quidem cauſis: merito. Cum enim aliqui iam, qui ſe rem vidiſſe affirmarent, mendaces ſint deprehenſi: num illi habenda fides eſt, qui ea dicit quæ nec ipſe nouit? Enimuero, cùm nemini liceat, etiamſi obnoxium ſeſe conſtituerit, per ea nocere cuiquam, quæ ſe audiſſe dicit: quî conuenit, ei vos habere fidem, qui nullo ſuo periculo nos criminatur? poſtquã igitur iſte legũ gnarus,* ídque magis quàm côueniebat, iniuſtè, multiſque rebus ſuperior accuſauit: neceſſe mihi eſt de iis primùm dicere iniuriis & contumeliis, quibus apud municipes ſum affectus. Peto autem à vobis, Athenienſes, ne illorũ ſẽtentiam pro argumento putetis, me ab hac republica eſſe alienum. Nam ſi municipes omnem æquitatem perſpicere poſſe putaſſetis: appellationem veſtri non dediſſetis. Nunc ex æmulatione, ex inimicitiis, aliis item de cauſis, tale quid euenturũ exiſtimantes affectis iniuria veſtrum velut aſylum aperuiſtis: quo laudabili inſtituto, Athenienſes, homines innocẽtes oẽs cõſeruaſtis. Primùm igitur vobis exponam, quo pacto apud populares ſententia lata ſit. Nam quæ ad rem faciant omnia dicere: id ego eſſe puto, ſi quis oſtendat, quæ factionibus oppreſſus, contra decretum ſit perpeſſus. Eubulides, vt veſtrum multi norunt,

Narratio, vt factione aduerſarij ſit reiectus.

ΔΗΜΟΣΘΕΝΟΥΣ ΕΦΕΣΙΣ ΠΡΟΣ ΕΥβουλίδην.

ΠΟλλὰ καὶ ψευδῆ κατηγορηκότος ἡμῶν Εὐβουλίδου, καὶ βλασφημίας οὔτε προσηκούσας, οὔτε δικαίας πεποιημένου, πειράσομαι τἀληθῆ καὶ τὰ δίκαια λέγων, ὦ ἄνδρες δικασταὶ, δεῖξαι καὶ μετὸν τῆς πόλεως ἡμῖν, καὶ πεπονθότα ἐμαυτὸν οὐχὶ προσήκοντα ὑπὸ τούτου. δέομαι δὲ ἁπάντων ὑμῶν, ὦ ἄνδρες δικασταὶ, ἱκετεύω καὶ ἀντιβολῶ, λογισαμένους τό, τε μέγεθος τοῦ παρόντος ἀγῶνος, καὶ τὴν αἰσχύνην, μεθ' ἧς ὑπάρχει τοῖς ἁλισκομένοις ἀπολωλέναι, ἀκοῦσαι καὶ ἐμοῦ σιωπῇ, μάλιστα μὲν, εἰ δυνατὸν, μετὰ πλείονος εὐνοίας ἢ τούτου (τοῖς γὰρ ἐν κινδύνῳ καθεστηκόσιν, B εἰκὸς εὐνοϊκωτέρους ὑμᾶς ὑπάρχειν) εἰ δὲ μὴ, μετά γε τῆς ἴσης. συμβαίνει δέ μοι τὸ μὲν καθ' ὑμᾶς, ὦ ἄνδρες δικασταὶ, καὶ τὸ προσήκειν μοι τῆς πόλεως, θαῤῥεῖν, καὶ πολλὰς ἔχειν ἐλπίδας καλῶς ἀγωνιεῖσθαι. τὸν καιρὸν δὲ καὶ τὸ* παρωξύνθαι τὴν πόλιν πρὸς τὰς ἀποψηφίσεις, φοβεῖσθαι. πολλῶν γὰρ ἐξεληλαμένων δικαίως ἐκ πάντων τῶν δήμων συγκεκοινωνήκαμεν τῆς δόξης ταύτης οἱ κατεστασιασμένοι· καὶ πρὸς τὴν κατ' ἐκείνων αἰτίαν, οὐ πρὸς τὸ καθ' αὑτὸν ἕκαστος ἀγωνιζόμεθα· ὥστ' ἐξ ἀνάγκης μέγαν ἡμῖν εἶναι τὸν φόβον. οὐ μὴν ἀλλὰ καίπερ τούτων οὕτως ἐχόντων, ἃ νομίζω περὶ τούτων αὐτῶν πρῶτον εἶναι δίκαια, ἐρῶ πρὸς ὑμᾶς. ἐγὼ γὰρ οἶμαι δεῖν ὑμᾶς, τοῖς μὲν ἐξελεγχομένοις ξένοις οὖσι χαλεπαίνειν, εἰ μήτε πείσαντες, μήτε δεηθέντες ὑμῶν, λάθρα καὶ βίᾳ τῶν ὑμετέρων ἱερῶν, καὶ κοινῶν μετεῖχον. τοῖς δ' ἠτυχηκόσι, καὶ δεικνύουσι πολίτας ὄντας αὐτοὺς, βοηθεῖν καὶ σώζειν, C ἐνθυμουμένους, ὅτι πάντων οἰκτρότατον πάθος ἡμῖν ἂν συμβαίη τοῖς ἠδικημένοις, εἰ* τῶν λαμβανόντων δίκην ὄντες ἂν δικαίως μεθ' ὑμῶν, ἐν τοῖς διδοῦσι γενοίμεθα, καὶ συναδικηθείημεν διὰ τὴν τοῦ πράγματος ὀργήν. ᾤμην μὲν οὖν ἔγωγε, ὦ ἄνδρες δικασταὶ, προσήκειν Εὐβουλίδῃ, καὶ πᾶσι δὲ ὅσοι νῦν ἐπὶ ταῖς ἀποψηφίσεσι κατηγοροῦσιν, ὅσα ἴσασιν ἀκριβῶς λέγειν, καὶ μηδεμίαν προσάγειν ἀκοὴν πρὸς τὸν τοιοῦτον ἀγῶνα. οὕτω γὰρ τοῦτο ἄδικον καὶ σφόδρα πάλαι κέκριται, ὥστε οὐδὲ μαρτυρεῖν ἀκοὴν ἐῶσιν οἱ νόμοι, οὐδ' ἐπὶ τοῖς φαύλοις πάνυ ἐγκλήμασιν· εἰκότως· ὅπου γὰρ εἰδέναι τινὲς ἤδη φήσαντες ψευδεῖς ἐφάνησαν, πῶς, ἅ γε μηδ' αὐτὸς οἶδεν ὁ λέγων, προσήκει πιστεύεσθαι; ἀλλὰ μὴν ὅπου γε μηδ' ὑπεύθυνον καθιστάντα ἑαυτὸν ἔξεστι, δι' ὧν ἀκοῦσαί τις φῇ, βλάπτειν μηδένα· πῶς ἀνυπευθύνῳ γε λέγοντι προσήκει πιστεύειν ὑμᾶς; ἐπειδὴ τοίνυν οὗτος εἰδὼς τοὺς νόμους, καὶ μᾶλλον ἢ προσῆκεν, ἀδίκως καὶ πλεονεκτικῶς τὴν κατηγορίαν πεποίηται· ἀναγκαῖον ἐμοὶ περὶ ὧν ἐν τοῖς δημόταις ὑβρίσθην, πρῶτον εἰπεῖν. ἀξιῶ δ' ὦ ἄνδρες Ἀθηναῖοι, μηδέπω τὴν τῶν δημοτῶν ἀποψήφισιν ποιεῖσθαι τεκμήριον ὑμᾶς, ὡς ἄρα οὐχὶ προσήκει μοι τῆς πόλεως. εἰ γὰρ πάντα ἐνομίζετε τὰ δίκαια δυνήσεσθαι τοὺς δημότας διακρῖναι, οὐκ ἂν ἐδώκατε τὴν εἰς ὑμᾶς ἔφεσιν. νῦν δὲ διὰ φιλονεικίαν, καὶ δι' ἔχθραν καὶ δι' ἄλλας προφάσεις ἔσεσθαί τι τοιοῦτον ἡγούμενοι, τὴν εἰς ὑμᾶς τοῖς ἀδικηθεῖσιν ἐποιήσατε καταφυγὴν, δι' ἣν καλῶς ποιοῦντες, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς ἠδικημένους ἅπαντας σεσώκατε. πρῶτον μὲν οὖν ὃν τρόπον ἐν τοῖς δημόταις συνέβη τὴν διαψήφισιν γενέσθαι, φράσω πρὸς ὑμᾶς. τὸ γὰρ εἰς αὐτὸ τὸ πρᾶγμα πάντα λέγειν, τοῦτ' ἐγὼ ὑπολαμβάνω, ὅσα τις παρὰ τὸ ψήφισμα πέπονθεν ἀδίκως καταστασιασθεὶς ἐπιδεῖξαι. Εὐβουλίδης γάρ ἐστιν, ὦ ἄν-

δρες

ἄνδρες Ἀθηναῖοι, ὡς ὑμῶν ἴσασι πολλοί, γραψάμενος ἀσεβείας τὴν ἀδελφὴν τοῦ Λακεδαιμονίου, τὸ πέμπτον μέρος τῶν ψήφων οὐ μετέλαβεν. ὅτι δὴ ἐν ἐκείνῳ τῷ ἀγῶνι τὰ δίκαια, τούτῳ δὲ τἀναντία ἐμαρτύρησα· διὰ ταύτην τὴν ἔχθραν ἐπιτίθεταί μοι· καὶ βουλεύων, ὦ ἄνδρες δικασταί, καὶ κύριος ὢν τοῦ τε ὅρκου καὶ τῶν γραμματείων, ἐξ ὧν ἐκάλει τοὺς δημότας, τί ποιεῖ; πρῶτον μὲν ἐπειδὴ συνελέγησαν οἱ δημόται, κατέτριψε τὴν ἡμέραν δημηγορῶν, καὶ ψηφίσματα γράφων. τοῦτο δ' ἦν οὐκ ἀπὸ τοῦ αὐτομάτου, ἀλλ' ἐπιβουλεύων ἐμοί, ὅπως ὡς ὀψιαίτατα ἡ διαψήφισις ἡ περὶ ἐμοῦ γένοιτο. καὶ διεπράξατο τοῦτο, καὶ τῶν μὲν δημοτῶν οἱ ὀμόσαντες ἐγενόμεθα τρεῖς καὶ ἑβδομήκοντα. ἠρξάμεθα δὲ τοῦ διαψηφίζεσθαι δείλης ὀψίας. ὥς τε συνέβη ἡνίκα τοὐμὸν ὄνομα ἐκάλει, τὸ σκότος ἤδη εἶναι· καὶ γὰρ ἦν περὶ ἑξηκοστόν· καὶ ἐκλήθην ὕστατος ἁπάντων τῶν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ κληθέντων. ἡνίκα οἱ μὲν πρεσβύτεροι τῶν δημοτῶν ἀπεληλύθεσαν εἰς τοὺς ἀγρούς (τοῦ γὰρ δήμου ἡμῖν, ὦ ἄνδρες δικασταί, πέντε καὶ τριάκοντα στάδια τοῦ ἄστεος ἀπέχοντος, καὶ τῶν πλείστων ἐκεῖ οἰκούντων, ἀπεληλύθεσαν οἱ πολλοί) οἱ δὲ καταλοιποι ἦσαν οὐ πλείους ἢ τριάκοντα· ἐν δὲ τούτοις ἦσαν ἅπαντες οἱ τούτῳ παρεσκευασμένοι. ἐπειδὴ δὲ ἐκλήθη τὸ ἐμὸν ὄνομα, ἀναπηδήσας οὗτος, ἐβλασφήμει κατ' ἐμοῦ ταχὺ καὶ πολλά, καὶ μεγάλῃ τῇ φωνῇ, ὥσπερ καὶ νῦν, μάρτυρα ὧν κατηγόρησεν οὐδένα παρασχόμενος, οὔτε τῶν δημοτῶν, οὔτε τῶν ἄλλων πολιτῶν· παρεκελεύετο δὲ τοῖς δημόταις ἀποψηφίζεσθαι. ἀξιοῦντος δέ μου εἰς τὴν ὑστεραίαν ἀναβαλέσθαι διά τε τὴν ὥραν, καὶ τὸ μηδένα μοι παρεῖναι, τότε πρᾶγμα ἄφνω προσπεπτωκέναι. ἵνα τούτῳ τε ἐξουσία γένοιτο ὁπόσα βούλοιτο κατηγορῆσαι καὶ μάρτυρας εἴ τινας ἔχοι, παρασχέσθαι· ἐμοί τε * ἐκγένοιτο ἀπολογήσασθαι ἐν ἅπασι τοῖς δημόταις, καὶ τοὺς οἰκείους μάρτυρας παρασχέσθαι· καὶ ὅ τι γνοίησαν περὶ ἐμοῦ, τούτοις ἤθελον ἐμμένειν. οὗτος ὧν μὲν ἐγὼ προὐκαλούμην, οὐδὲν ἐφρόντισε· τὴν δὲ ψῆφον εὐθὺς ἐδίδου τοῖς παροῦσι τῶν δημοτῶν, οὔτε ἀπολογίαν οὐδεμίαν δούς, οὔτ' ἔλεγχον οὐδένα ἀκριβῆ ποιήσας. οἱ δὲ τούτῳ συνεστῶτες, ἀναπηδήσαντες ἐψηφίζοντο. καὶ ἦν μὲν σκότος· οἱ δέ, λαμβάνοντες δύο καὶ τρεῖς ψήφους, ἕκαστος παρὰ τούτου ἐνέβαλλον εἰς τὸν καδίσκον. σημεῖον δέ· οἱ μὲν γὰρ ψηφισάμενοι οὐ πλείους ἢ τριάκοντ' ἦσαν, αἱ δὲ ψῆφοι ἠριθμήθησαν πλείους ἢ ἑξήκοντα· ὥστε πάντας ἡμᾶς ἐκπλαγῆναι. καὶ ταῦτα ὡς ἀληθῆ λέγω, καὶ ὅτι οὔτε ἐδόθη ἡ ψῆφος ἐν ἅπασι, πλείους τε ἐγένοντο τῶν ψηφισαμένων, μάρτυρας ὑμῖν παρέξομαι· συμβαίνει δέ μοι περὶ τούτων, τῶν μὲν φίλων ἢ τῶν ἄλλων Ἀθηναίων μηδένα μάρτυρα παρεῖναι, διά τε τὴν ὥραν, καὶ διὰ τὸ μηδένα παρακαλέσαι, αὐτοῖς δὲ τοῖς ἠδικηκόσι με χρήσασθαι μάρτυσιν. ἃ οὖν οὐ δυνήσονται ἔξαρνοι γενέσθαι, ταῦτα γέγραφα αὐτοῖς. λέγε.

Μαρτυρία.

Εἰ μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, συνέβαινε τοῖς Ἁλιμουσίοις περὶ ἁπάντων τῶν δημοτῶν διαψηφίσασθαι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· εἰκὸς ἦν καὶ εἰς ὀψὲ ψηφίζεσθαι· ἵνα ἀπηλλαγμένοι εἴησαν ποιήσαντες τὰ ὑμῖν ἐψηφισμένα. εἰ δὲ πλείους ἢ εἴκοσιν ὑπόλοιποι ἦσαν τῶν δημοτῶν περὶ ὧν ἔδει τῇ ὑστεραίᾳ διαψηφίσασθαι, καὶ ὁμοίως ἦν ἀνάγκη συλλέγεσθαι τοὺς δημότας· τί ποτ' ἦν τὸ δυσχερὲς Εὐβουλίδῃ ἀναβαλέσθαι εἰς τὴν ὑστεραίαν, καὶ περὶ ἐμοῦ πρώτου τὴν ψῆφον διδόναι τοῖς δημόταις; διότι, ὦ ἄνδρες δικασταί, οὐκ ἠγνόει Εὐβουλίδης, ὅτι εἰ λόγος ἀποδοθήσοιτο καὶ παραγένοιντό μοι πάντες οἱ δημόται, καὶ ἡ ψῆφος δικαίως δοθείη, οὐδαμοῦ γενήσονται οἱ μετὰ τούτου συνεστηκότες

A impietatis accuſata ſorore Lacedæmonij, quintam ſuffragiorum partē non tulit. Quòd igitur in ea cauſa & verum, & iſti aduerſum dixi teſtimonium: eò mecum exercet inimicitias, méque oppugnat. Qui cum & ſenator eſſet, & iuſiurandum, atque album, ex quo populares intrò vocabat, in ſua poteſtate haberet, quid facit? Primùm cùm municipes conueniſſent, concionibus habendis, & decretis ſcribendis diem contriuit. Id verò non forte fortuna factum eſt, ſed circumſcribendi mei cauſa, vt quàm tardiſſimè de me pronunciaretur: idque perfecit. & municipes, qui iurauerámus, tres & ſeptuaginta fuimus. Cœpimus autem ferre ſuffragia admodum ſerò. Proinde accidit, cùm nomen meum citaret, vt iam tenebræ eſſent. *Etenim peruentum iam erat circiter ad ſexageſimum: & vocatus ſum poſtremus omnium inter eos, qui illo die ſunt vocati: natu grandioribus inter municipes iam in agros digreſſis. cum enim municipium noſtrum quinque & triginta ſtadia diſtet ab vrbe, & ibi plurimi habitent: plerique abierant, & reliqui erant non plures triginta. B In quibus erant omnes ij, quos iſte ſubornarat. Vt autem nomen meum citatum fuit: exiliens iſte, ſtatim in me multa maledicta congerebat, & magna voce. Vt nunc etiam, teſte ſuarum criminationum nullo, neque ex municipibus, neque ex reliquis ciuibus producto, hortabatur populares, vt me improbarent. Poſtulante autem me, vt in poſterum diem differre, propter & tempus, & ſolitudinem meam, & cauſam ex improuiſo oblatū: vt & ipſi crimina, quàm multa vellet, adiicere liceret, & teſtes, ſi quos haberet, producere: & mihi poteſtas daretur cauſæ dicendæ apud omnes municipes, & cognatos meos teſtes producendi: pollicente item, quicquid illi decreuiſſent, id me ratum habiturum: ille, quæ ego offerebā, negligebat omnia: ſtatimque calculum iis dabat qui aderant ex municipibus, neque mihi defendendi poteſtate facta, neque vlla certa inquiſitione habita. Iſtius autē gregales & coniurati exilientes, ſuffragia ferebant. Et cùm tenebræ eſſent, illorum ſinguli ab iſto binos & ternos calculos acceptos in vaſculum cōiecerunt. argumēto eſt, quòd qui ſuffragia tulēre, C plures triginta non fuerunt: calculi autem numerati ſunt amplius ſexaginta: vt nos omnes obſtupeſceremus. Et hæc verè à me dici, & ſuffragia neque lata eſſe præſentibus omnibus, & plures fuiſſe calculos quàm ſuffragatores, teſtes vobis producam. Et quoniam ſic accidit, vt mihi in his amicorum aliorúmve Athenienſium teſtis nemo adfuerit, tum propter diei tempus, tum quòd neminem aduocaram: iis ipſis, qui me læſerunt, vtar teſtibus: Quibus ea ſcripſi quæ inficias ire non poterunt. Recita.

TESTIMONIVM.

Quòd ſi, Iudices, Alimuſij illo die ſuffragia de omnibus municipib. tuliſſent: cōſentaneum fuiſſet, eos vſque in noctem ſuffragia ferre: vt re cōfecta, veſtrúmque decretum executi abirent. Cùm autem amplius viginti reliqui eſſent è municipibus, de quibus poſtridie ſuffragia ferenda erant, & nihilominus neceſſe eſſet municipes conuenire: quid fuiſſet incommodi Eubulidæ, differre in diē poſterum, & de me primo popularibus dare ſuffragiū? Propterea, Iudices, quòd Eubulides nō ignorabat, ſi mihi cauſæ dicēdæ poteſtas fieret, & populares oēs præſtò eſſēt, & calculus iuſtè daretur: ſuos gregales nihil eſſe validuros:

Vnde autem iſta conſpiratio ſit orta, cum de genere meo dixero, tum ſi voletis exponam. Nunc aũt quid iuſtum eſſe exiſtimo, & quid facere ſum paratus, Iudices? Oſtendam vobis, me eſſe Athenienſem & à patre & à matre: & huius rei teſtes, quos veraces eſſe dicetis, vobis exhibebo, & conuicia criminaque refutabo: & à vobis, his auditis, petam, ſi vobis ciuis & factionibus oppreſſus videbor, vt me ſeruetis: ſin minus, vt id agatis, quod vobis piũ eſſe videatur. Hinc autem auſpicabor. Perſtrinxerunt patrem meum peregrinitatis: captum autem eum ſub Deeclicum bellum ab hoſtibus & Leucadem venditum, cum in Leandrum hiſtrionem incidiſſet, ad ſuos longè pòſt eſſe reuerſum incolumem, præterierunt: ſed quaſi nobis propter illa infortunia pereundum ſit, peregrinitatis eum accuſarunt. Ego verò per hæc ipſa potiſſimùm oſtendã, eum Athenienſem fuiſſe: ac primùm de eius & captiuitate, & redemptione teſtes vobis producam. Deinde eum reuerſum, à patruis facultatum partem accepiſſe: poſtea, nec in municipibus, nec in curialibus, nec alibi vſquam ob ſermonis peregrinitatem, vt peregrinum ab vllo eſſe accuſatum. Age cape teſtimonia.

Propoſitio: Se eſſe & à paterno & à materno genere Athenienſem.

TESTIMONIA.

De captiuitate quidem & incolumi patris mei reditu in vrbem, audiſtis. Eum autem veſtrum fuiſſe ciuem (rei enim veritas ita ſe habet) teſtes voco ex cognatis patris mei qui ſunt ſuperſtites. Primùm auté Thucritidem mihi voca, & Chariſiadem. horum enim pater Chariſius, frater fuit aui mei Thucritidæ, & Lyſaretæ auiæ meæ, & patruus patris mei: ſororé enim duxerat auus meus non vterinam. Deinde Niciadem. nam eius quoque pater Lyſanias, frater fuit Thucritidæ & Lyſaretæ: & patris mei patruus. Pòſt, Nicoſtratum. nam eius quoque pater Niciades, nepos ex fratre fuit aui mei & auiæ, & patri meo conſobrinus. Voca mihi hos omnes: tu verò ſiſte aquam.

TESTES

Qui igitur à viris patri meo cognati fuerunt, eos audiuiſtis, & teſtificantes & deierantes, patrem meum neceſſarium eis & cognatum fuiſſe: quorum vtique nemo* in conſpectu eorum, qui falſi teſtimonij ei conſcij eſſent, exitium ſibi imprecatus peierabit. Cape & illorum qui patri à mulieribus cognati ſunt, teſtimonia.

TESTIMONIA.

Qui igitur è cognatis mei patris, tam à viris quàm à mulieribus ſuperſtites ſunt, eos teſtificãtes audiuiſtis, cum vtrinque fuiſſe Athenienſem, & ſine controuerſia ius habuiſſe ciuitatis. Voca mihi & Curiales & deinde* gentiles.

TESTES.

Cape & municipum teſtimonia, & cognatorum, illa de Curialibus: vt conſtet, eos elegiſſe me curiæ principem.

TESTIMONIA.

Quæ igitur & cognati & curiales & municipes, & gentiles, quorum id officium eſt, teſtificati ſunt, audiſtis. Vnde vobis ſcire licet, ciuiſne an peregrinus fuerit is, cuius ea conditio fuit. Si enim ad vnum hominẽ atque alterum confugeremus: ſuſpicio eſſe poſſet, eos à nobis eſſe ſubornatos. Sed cũ apud oẽs eos, apud quos & veſtrũ vnuſquiſq; probatus fuit, & pater dũ vixit, & ego qui nũc verba facio ꝓbati ſumus, apud curiales, cognatos, municipes, gẽtiles: fierine vllo modo poteſt, vt ij oẽs mẽdaces & ſubornati ſint?

A ὅθεν δ' οὗτοι συνέστησαν, ταῦτα ἐπειδὰν περὶ τοῦ γένους εἴπω, τότε, ἂν βούλησθε λέγειν, ἐρῶ. νῦν δὲ τί δίκαιον νομίζω, καὶ τί παρεσκεύασμαι ποιεῖν, ἄνδρες δικασταί, δείξω πρὸς ὑμᾶς· ἐμαυτὸν Ἀθηναῖον ὄντα, καὶ τὰ πρὸς πατρὸς, καὶ τὰ πρὸς μητρὸς, καὶ μάρτυρας τούτων, οὓς ὑμεῖς ἀληθεῖς φήσετε εἶναι, παρέξω· τὰς δὲ λοιδορίας καὶ τὰς αἰτίας ἀνελεῖν· ὑμᾶς δ' ἀκούσαντες τούτων, ἐὰν μὲν ὑμῖν πολίτης ὢν κατεστασιάσθαι δοκῶ, σώζειν· εἰ δὲ μή, πράττειν ὁποῖον ἄν τι ὑμῖν εὐσεβὲς εἶναι δοκῇ. ἄρξομαι δὲ ἐντεῦθεν. διαβεβλήκασι γάρ μου τὸν πατέρα, ὡς ἐξένιζε· καὶ ὅτι μὲν ἁλοὺς ὑπὸ τῶν πολεμίων ὑπὸ τὸν Δεκελικὸν πόλεμον, καὶ πραθεὶς εἰς Λευκάδα, λεάνδρῳ περιτυχὼν τῷ ὑποκριτῇ πρὸς τοὺς οἰκείους ἐσώθη δεῦρο πολλοστῷ χρόνῳ, παραλελοίπασιν. ὥσπερ δὲ δέον ἡμᾶς δι' ἐκείνας τὰς ἀτυχίας ἀπολέσθαι, τὸ ξενίζειν αὐτοῦ κατηγορήκασιν. ἐγὼ δ' ἐξ αὐτῶν τούτων μάλιστ' ἂν οἶμαι ὑμῖν Ἀθηναῖον ὄντα ἐπιδεῖξαι. καὶ πρῶτον B μὲν ὡς ἑάλω καὶ ἐσώθη, μάρτυρας ὑμῖν παρέξομαι· ἔπειτα ὅτι ἀφικόμενος, τῆς οὐσίας παρὰ τῶν θείων τὸ μέρος μετέλαβεν· εἶτα, ὅτι ἐν τοῖς δημόταις, οὔτ' ἐν τοῖς φράτορσιν, οὔτε ἄλλοθι οὐδαμοῦ τὸν ξενίζοντα οὐδεὶς πώποτε ᾐτιάσατο ὡς εἴη ξένος. καί μοι λάβε τὰς μαρτυρίας.

Μαρτυρίαι.

Περὶ μὲν τῆς ἁλώσεως, καὶ τῆς σωτηρίας, ἣν συνέβη γενέσθαι τῷ πατρὶ δεῦρο, ἀκηκόατε· ὡς δ' ὑμέτερος ἦν πολίτης, ὦ ἄνδρες δικασταί (τὸ γὰρ ὂν καὶ ἀληθὲς οὕτως ὑπάρχει) μάρτυρας καλῶ τοὺς ζῶντας ὑμῖν τῶν συγγενῶν τῶν πρὸς πατρός. κάλει δέ μοι πρῶτον μὲν θουκριτίδην καὶ χαρισιάδην. ὁ γὰρ τούτων πατὴρ χαρίσιος, ἀδελφὸς ἦν τοῦ πάππου τοῦ ἐμοῦ θουκριτίδου, καὶ τῆς λυσαρέτης τῆς ἐμῆς τήθης, θεῖος δὲ τοῦ πατρὸς τοῦ ἐμοῦ. ἀδελφὴν γὰρ ὁ πάππος οὑμὸς ἔγημεν, οὐχ ὁμομητρίαν· ἔπειτα νικιάδην· καὶ γὰρ ὁ τούτου πατὴρ λυσανίας ἀδελφὸς ἦν τοῦ θουκριτίδου, καὶ τῆς λυσαρέτης, θεῖος δὲ τοῦ πατρὸς τοῦ ἐμοῦ. ἔπειτα νικόστρατον. καὶ γὰρ ὁ C τούτου πατὴρ νικιάδης, ἀδελφιδοῦς ἦν τῷ πάππῳ τῷ ἐμῷ, καὶ τῇ τήθῃ, ἀνεψιὸς δὲ τῷ πατρί. καί μοι κάλει τούτους πάντας. σὺ δὲ ἐπίλαβε τὸ ὕδωρ.

Μάρτυρες.

Τῶν μὲν τοίνυν πρὸς ἀνδρῶν τῷ πατρὶ συγγενῶν ἀκηκόατε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μαρτυρούντων, καὶ διομνυμένων οἰκεῖον εἶναι καὶ συγγενῆ τὸν ἐμὸν πατέρα αὐτοῖς, ὧν οὐδεὶς δήπου παραστησάμενος τοὺς συνεισομένους αὐτῷ τὰ ψευδῆ μαρτυροῦντα, κατ' ἐξωλείας ἐπιορκεῖ. λάβε δὴ καὶ τὰς πρὸς γυναικῶν τῷ πατρὶ συγγενῶν μαρτυρίας.

Μαρτυρίαι.

Οἱ μὲν τοίνυν ζῶντες οὗτοι τῶν συγγενῶν τοῦ πατρὸς καὶ πρὸς ἀνδρῶν, καὶ πρὸς γυναικῶν μεμαρτυρήκασιν, ὡς ἦν ἀμφοτέρωθεν Ἀθηναῖος, καὶ μετῆν τῆς πόλεως αὐτῷ δικαίως. κάλει δή μοι καὶ τοὺς φράτορας, ἔπειτα τοὺς γεννήτας.

Μάρτυρες.

Λάβε δὴ καὶ τὰς τῶν δημοτῶν μαρτυρίας, καὶ τὰς τῶν συγγενῶν περὶ τῶν φρατέρων, ὡς εἵλοντό με φρατρίαρχον.

Μαρτυρίαι.

Τὰ μὲν τοίνυν ὑπὸ τῶν συγγενῶν καὶ φρατέρων καὶ δημοτῶν καὶ γεννητῶν, ὧν προσήκει μαρτυρούμενα, ἀκηκόατε. ἐξ ὧν ἔξεστιν ὑμῖν εἰδέναι, πότερόν ποτε ἀστὸς ἢ ξένος ἦν, ᾧ ταῦθ' ὑπῆρχε. καὶ γὰρ εἰ μὲν εἰς ἕνα ἢ δύο ἀνθρώπους κατεφεύγομεν, εἴχομεν ἄν τινα ὑποψίαν παρεσκευάσθαι τούτους· εἰ δ' ἐν ἅπασιν ὅσοισπερ ἕκαστος ὑμῶν, ἐξητασμένος φαίνεται καὶ ζῶν ὁ πατὴρ, καὶ νῦν ἐγὼ ὁ λέγων, φράτορσι, συγγενέσι, δημόταις, γεννήταις· πῶς ἔνεστιν, ἢ πῶς δυνατὸν τούτους ἅπαντας, μὴ μετ' ἀληθείας ὑπάρχοντας, κατεσκευάσθαι;

εἰ μὲν

εἰ μὲν τοίνυν εὔπορος ὢν ὁ πατὴρ χρήματα δοὺς τούτοις ἐφαίνετο, πείσας συγγενεῖς αὑτοὺς ἑαυτοῦ φάσκειν εἶναι· λόγον εἶχεν ὑποψίαν τὴν ἔχειν ὡς οὐκ ἦν ἀστός. εἰ δὲ πένης ὢν ἅμα συγγενεῖς τε παρείχετο τοὺς αὐτοὺς, καὶ μεταδιδόντας τῶν ὄντων ἐπεδείκνυε, πῶς οὐκ εὔδηλον, ὅτι τῇ ἀληθείᾳ προσήκει τούτοις; οὐ γὰρ ἂν δήπου εἴ γε μηδενὶ ἦν οἰκεῖος, χρήματ' αὐτῷ προσθέντες οὗτοι, τῆς φύσεως μετεδίδοσαν· ἀλλ' ἦν, ὥς τό, τε ἔργον ἐδήλωσε, καὶ ὑμῖν μεμαρτύρηται. ἔτι τοίνυν ἀρχὰς ἔλαχε, καὶ ἦρξε δοκιμασθείς. καί μοι λάβε τὴν μαρτυρίαν.

Μαρτυρία.

Οἴεταί τις οὖν ὑμῶν ἐᾶσαί ποτ' ἂν τοὺς δημότας ἐκεῖνον ξένον ὄντα, καὶ μὴ πολίτην, ἄρχειν παρ' αὐτοῖς, ἀλλ' οὐκ ἂν κατηγορεῖν; οὐ τοίνυν κατηγόρησεν οὐδὲ εἷς, οὐδ' ᾐτιάσατο. ἀλλὰ μὴν καὶ διαψηφίσεις ἐξ ἀνάγκης ἐγένοντο τοῖς δημόταις, ὀμόσασι καθ' ἱερῶν, ὅτ' ἀπώλετο αὐτοῖς τὸ ληξιαρχικὸν γραμματεῖον, δημαρχοῦντος Ἀντιφίλου τοῦ πατρὸς τοῦ Εὐβουλίδου, καί τινας ἀπήλασαν αὐτῶν· περὶ ἐκείνου δὲ οὐδεὶς οὔτ' εἶπεν, οὔτ' ᾐτιάσατο τοιοῦτον οὐδέν. καίτοι πᾶσίν ἐστιν ἀνθρώποις τέλος τοῦ βίου θάνατος· καὶ περὶ ὧν μὲν ἄν τις ζῶν αἰτίαν σχῇ περὶ τοῦ γένους, δίκαιον τοὺς παῖδας τὴν ἀπολογίαν παρέχειν· περὶ ὧν δ' ἂν μηδεὶς αὐτὸν ζῶντα καταιτιάσηται, πῶς οὐ δεινόν, εἰ τοὺς παῖδας ὁ βουλόμενος κρινεῖ; εἰ μὲν τοίνυν περὶ τούτων μηδεὶς λόγος ἐξητάσθη, δώσομεν τοῦτο λεληθέναι. εἰ δ' ἐδόθη, καὶ διεψηφίσαντο, καὶ μηδὲν ᾐτιάσατο πώποτε μηδείς, πῶς οὐ δικαίως ἂν ἐγὼ κατ' ἐκεῖνον Ἀθηναῖος εἴην, τοῦ τελευτήσαντος πρὶν ἀμφισβητηθῆναι τοῦ γένους αὐτῷ; ὡς δὴ ταῦτ' ἀληθῆ λέγω, κάλει καὶ τούτων μάρτυρας.

Μάρτυρες.

Ἔτι τοίνυν παίδων αὐτῷ τεττάρων γενομένων ὁμομητρίων ἐμοὶ, καὶ τελευτησάντων, ἔθαψε τούτους εἰς τὰ πατρῷα μνήματα, ὧν ὅσοι πέρ εἰσι τοῦ γένους κοινωνοῦσι· καὶ τούτων οὐδεὶς οὐκ ἀπεῖπε πώποτε, οὐκ ἐκώλυσεν, οὐ δίκην ἔλαχε. καίτοι τίς ἂν ἔστιν ὅστις εἰς τὰ πατρῷα μνήματα τοὺς μηδὲν ἐν γένει τιθέντας ἐάσαι; ὡς τοίνυν καὶ ταῦτ' ἀληθῆ λέγω, λάβε τὴν μαρτυρίαν.

Μαρτυρία.

Περὶ μὲν τοίνυν τοῦ πατρὸς, ὡς Ἀθηναῖος ἦν, ταῦτ' ἔχω λέγειν καὶ μάρτυρας παρέχομαι τοὺς ὑπ' αὐτῶν τούτων ἐψηφισμένους εἶναι πολίτας μαρτυροῦντας, ἐκεῖνον ἑαυτοῖς ἀνεψιὸν εἶναι. φαίνεται δὲ βιοὺς ἔτη τόσα καὶ τόσα ἐνθάδε, καὶ οὐδαμοῦ πώποτε ὡς ξένος ἐξετασθεὶς, ἀλλὰ πρὸς τούτους ὄντας συγγενεῖς καταφεύγων. οὗτοι δὲ καὶ προσδεχόμενοι, καὶ τῆς οὐσίας μεταδιδόντες, ὡς αὐτῶν ἑνί. τοῖς χρόνοις τοίνυν οὕτω φαίνεται γεγονὼς, ὥστε εἰ καὶ κατὰ θάτερα ἀστὸς ἦν, εἶναι πολίτην προσήκειν αὐτόν. γέγονε γὰρ πρὸ Εὐκλείδου. περὶ δὲ τῆς μητρὸς, ἐπεὶ καὶ ταύτην διαβεβλήκασί μου, λέξω, καὶ μάρτυρας ὧν ἂν λέγω, καλῶ. καίτοι, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ μόνον παρὰ τὰ ψηφίσματα τὰ περὶ τῆς ἀγορᾶς, διέβαλεν ἡμᾶς Εὐβουλίδης, ἀλλὰ καὶ παρὰ τοὺς νόμους, οἳ κελεύουσιν ἔνοχον εἶναι τῇ κατηγορίᾳ τὸν τὴν ἐργασίαν τὴν ἐν τῇ ἀγορᾷ, ἢ τῶν πολιτῶν, ἢ τῶν πολιτίδων ὀνειδίζοντά τινι. ἡμεῖς δὲ ὁμολογοῦμεν μὲν καὶ ταινίας πωλεῖν, καὶ ζῆν οὐχ ὅντινα τρόπον βουλόμεθα. καὶ εἴ σοί ἐστι τοῦτο σημεῖον, ὦ Εὐβουλίδη, τοῦ μὴ Ἀθηναίους εἶναι ἡμᾶς· ἐγώ σοι τούτου ὅλως τοὐναντίον ἐπιδείξω, ὅτι οὐκ ἔξεστι ξένῳ ἐν τῇ ἀγορᾷ ἐργάζεσθαι. καί μοι λαβὼν ἀνάγνωθι πρῶτον τὸν Σόλωνος νόμον.

Νόμος.

Λαβὲ δὴ καὶ τὸν Ἀριστοφῶντος· οὕτω γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτον ἔδοξεν ἐκεῖνος ὑμῖν καλῶς καὶ δημοτικῶς νομοθετῆσαι, ὥστε ψηφίσασθαι πάλιν ἀνανεώσασθαι. Νόμος. Προσήκει τοίνυν ὑμῖν, βοηθοῦσι τοῖς νόμοις, μὴ τοὺς ἐργα-

Quod ſi locuples fuiſſet pater , atque his pecunia data perſuaſiſſet, vt ſe cognatos eius eſſe dicerent: nõ abſurda ſuſpicio fuiſſet, eum non eſſe ciuem. Sin ſimul & pauper fuit, & eos exhibuit ſimul & cognatos, & de ſuo impertientes: an non euidens eſt, eum reuera cognatum eis fuiſſe? neque enim profectò, ſi nemini coniunctus fuiſſet, iſti adiecta pecunia eum in familiã recepiſſẽt: ſed fuit, vt & ipſa res probauit, & teſtes vobis affirmarũt. præterea magiſtratus etiã ſortitus eſt: & approbatus, eos geſſit. Cape teſtimonium.

TESTIMONIVM.

Quis verò veſtrûm exiſtimet permiſſuros fuiſſe municipes, vt ille peregrinus & non ciuis, apud ipſos magiſtratu fungeretur, ac non fuiſſe accuſaturos? neque verò quiſquam eum vel accuſauit, vel criminat⁹ eſt. Quin neceſſariò etiã ſuffragia tulerũt municipes ſacris iuratis, cũ eis album municipij periiſſet, Antiphilo patre Eubulidæ tribuno plebis, & quoſdam è municipio repulerunt: de illo aũt neque dixit, neque cõqueſtus vllus eſt tale quicquã. Atqui omnib. hominibus vitæ finis mors eſt: & qui viuentes de genere accuſantur, eorũ filios æquum eſt ad reddendã rationem perpetuò eſſe paratos. Quibus aũt in rebus nemo viuentẽ ipsũ criminatus fuit: de iis an nõ iniquũ eſt liberos exagitari à quouis? Quòd ſi de his inquiſitio nulla facta fuiſſet: latuiſſe rẽ cõcedi poſſet. Sed cũ & facta ſit, & lata ſuffragia, & nemo vnquã quicquã ſit cõqueſtus: nónne æquũ eſt me propter illũ Atheniẽſẽ eſſe, antequam ei de genere facta fuit cõtrouerſia? Hæc verè à me dici vt conſtet, horum etiã voca teſtes.

TESTES.

Præterea cùm ei liberi quaterni eſſent nati, vterini mei fratres, & mortui: ſepeliit eos in patriis monimentis, quæ quotquot è familia ſunt, participant: neque iſtorũ quiſquã vnquã vetuit aut prohibuit, neq; eũ in ius vocauit. Quis verò eſt, qui à familia alienos in patriis ſepeliri monimentis patiatur? Vt autem & hæc verè à me dici conſtet, cape teſtimonium.

TESTIMONIVM.

De patre igitur, fuiſſe eum Athenienſem, hæc habeo quæ dicam: & teſtes produxi eos, quos iſti ipſi ciues eſſe pronunciarũt, qui teſtificantur, eum ſuum fuiſſe conſobrinũ. Cõſtat aũt eũ tot & tot annos hîc vixiſſe, & nunquã vſquam vt hoſpitẽ eſſe deprehenſum: ſed ad hos cognatos ſuos confugiſſe, qui eum & receperunt, & facultates ei impertierunt, vt ſuorum vni. Iis porrò temporibus natus fuit, vt etiãſi ex altera duntaxat parte ciuis fuiſſet, ciuem eum haberi cõueniret: cùm natus ante Euclidẽ fuerit. De matre aũt mea (nam & hanc exagitarunt) iam dicam, & orationis meæ citabo teſtes: quamuis nõ modò cõtra decreta, foréſẽ quæſtũ nobis obiecerit Eubulides, ſed etiam contra leges, quę conuicij crimine teneri iubent eum, qui quæſtum in foro vlli ciuium, ſeu viro, ſeu mulieri exprobrarit. Nos verò fatemur & faſcias vendere nos, & victitare non vti volumus. Quod ſi tibi argumento eſt, nos non eſſe ciues: ego tibi huius omnino contrarium probabo, non licere peregrino in foro quæſtum facere. Cape primùm, ac lege mihi Solonis legem.

Quæſtũ matris in foro, ſibi fraudi eſſe non oportere: nec nutricis munus: & recriminatio aduerſarij.

LEX.

Cape etiam Ariſtophontis legem. Is enim eam adeò rectè & populariter eſſe latam cenſuit, vt ſenatuſconſulto renouandam eſſe decreuerit.

LEX.

Tuédę sũt igitur vobis leges: neq; ij ꝗ quęſtũ faciunt

peregrini:ſed qui calumniantur,improbi ſunt habẽdi. Eſt enim Eubulide,alia quoque lex de ignauia, cui cùm ipſe obnoxius ſis,nos qui opus facimus,exagitas. Verùm nunc vſque adeò infelices ſumus, vt iſti liceat extra cauſam cõuiciari,atque omnia facere ne meum mihi ius tribuatur:me aũt fortaſſe obiurgabitis,ſi dixero quemadmodum iſte in vrbe circũiens rem faciat,ídque meritò. Quorſum enim attinet,vobis ea narrare quæ ipſi noſtis? Conſiderate igitur. Quòd nos in foro quæſtũ facimus:id in primis argumento eſſe puto,iſtũ falſa nobis impingere crimina. Quam enim faſciarum venditricem fuiſſe dicit,& manifeſtam omnibus:de ea par fuit vtique teſtificari multos,qui ipſi eam nouiſſent,nõ qui nihil præter auditum referrent. Nam peregrina fuiſſet,excutienda fuerunt vectigalia in foro: & nũ peregrinorũ tributũ pependerit inquirendũ?& cuias fuerit oſtendendum? Sin ancilla,in primis emptor: ſin minus,venditor producendus fuit,qui teſtimonium in eam diceret:aut ſaltem alius quiſpiam,qui probaret, eam vel ſeruitutẽ ſeruiſſe,vel eſſe manumiſſam. Nũc horũ nihil oſtendit,ſed crimen obiecit,vt mihi videtur,nullius momenti. Id.n.eſt calumniatoris ingenium:criminari omnia,probare nihil. Deinde illud etiã in matrẽ dixit,eã nutricẽ fuiſſe. Nos verò,cũ noſtra vrbs cladem accepiſſet,& oẽs reb aduerſis conflictarentur:nõ inficiamur hoc eſſe factũ:quo pacto aũt,& quibus de cauſis mammã præbuerit: ego perſpicuè vobis oſtendam. Neq; verò quiſquã veſtrûm, Atheniẽſes,iniquo animo accipiat:etiam nunc ciues mulieres multas inuenietis,quæ nutricum fungantur officiis:quas vobis vel nominatim, ſi veſtra voluntas feret,dicemus. Quòd ſi diuites eſſemus: neq; tænias vẽderemus:neq; denique inopes eſſemus Sed quid iſta cum genere conſortij habent?equidem nihil opinor. Ne verò,Iudices,pauperes aſpernemini. ſatis enim eis eſt in ipſa paupertate mali:néque eos etiam,qui quæritare victũ,& viuere ſine cuiuſpiá iniuria inſtituunt. Sed audita re,vbi vobis matris cognatos oſtendero tales,quales ingenuorum hominum eſſe decet:qui,ſi iſte in eam talia crimina coniecerit,eiurẽt & teſtificẽtur ſe ſcire eam eſſe ciuem quos vos putatis eſſe fide dignos:eã nobis ferte ſententiã,quam poſtulat æquitas. Mihi auus fuit, Athenienſes,matris pater Damoſtratus Melitenſis. ei naſcuntur quatuor liberi è priore quã habuit vxore, filia & filius:cui nomen fuit Amytheon:è poſteriore Chæreſtrata,mater mea,& Timocrates. His porrò liberi naſcũtur, Amytheoni Damoſtratus,aui nomẽ referẽs,& Calliſtratus & Dexitheus. Ac Dexitheus, quidẽ ex eorũ numero eſt qui in Sicilia & militarũt, & obierũt,& ſepultus eſt in publicis monimẽtis. & hæc teſtes cõfirmabunt. Soror aũt eius, quę Alæenſi Diodoro nupta fuit,filiũ peperit Cteſibium is Abydi obiit,cũ Thraſybulo militãs. Ex his viuit Damoſtratus Amytheonis filius,matris meæ fratris filius. Chæreſtratæ auiæ meæ ſororem ducit Apollodorus Plothenſis. ex his naſcitur Olympichus:ex Olympicho Appollodorus,is viuit. Proinde voca mihi eos.

TESTES.

Hos igitur audiuiſtis teſtificãtes,& deierãtes. Vocabo etiã vterinũ fratrẽ,& vtrinq; nobis cognatũ,& filios eius. Nã Timocrati matris meæ fratri germano & vterino,naſcitur, Euxitheus: Euxitheo tres filij qui omnes viuunt. Voca mihi ex eis qui domi ſunt.

TESTES.

Cape etiã teſtimonia Curialium & cognatorum ma

A ζομένους ξένους νομίζειν, ἀλλὰ τοὺς συκοφαντοῦντας πονηρούς. ἐπεί, ὦ εὐβουλίδη, ἔστι καὶ ἕτερος περὶ τῆς ἀργίας νόμος, ᾧ αὐτὸς ἔνοχος ὤν, ἡμᾶς τοὺς ἐργαζομένους διαβάλλεις. ἀλλὰ γὰρ τοσαύτη τις ἀτυχία ἐστὶ περὶ ἡμᾶς νῦν, ὥστε τούτῳ μὲν ἔξεστιν ἔξω τοῦ πράγματος βλασφημεῖν, καὶ πάντα ποιεῖν, ὅπως μηδενὸς τῶν δικαίων ἐγὼ τύχω. ἐμοὶ δ' ἐπιτιμήσετε ἴσως, ἐὰν λέγω, ὃν τρόπον οὗτος ἐργάζεται περιιὼν ἐν τῇ πόλει, καὶ εἰκότως. ἃ γὰρ ὑμεῖς ἴστε, τί δεῖ λέγειν; σκοπεῖτε δή. νομίζω γὰρ ἔγωγε τὸ ἐν τῇ ἀγορᾷ ἡμᾶς ἐργάζεσθαι, μέγιστον εἶναι σημεῖον τοῦ ψευδεῖς ἡμῖν αἰτίας τοῦτον ἐπιφέρειν. ἣν γάρ φησι ταινιόπωλιν εἶναι καὶ φανερὰν πᾶσι, προσῆκε δήπουθεν εἰδότας αὐτοὺς πολλοὺς ἥτις ἐστί, μαρτυρεῖν, καὶ μὴ μόνον ἀκοήν. ἀλλ' εἰ μὲν ξένη ἦν, τὰ τέλη ἐξετάσαντας τὰ ἐν τῇ ἀγορᾷ, εἰ ξενικὰ ἐτέλει καὶ ποδαπὴ ἦν ἐπιδεικνύντας· εἰ δὲ δούλη, μάλιστα μὲν τὸν πριάμενον· εἰ δὲ μή, τὸν ἀποδόμενον ἥκειν καταμαρτυροῦντα. εἰ δὲ μή, τῶν ἄλλων τινά, ἢ ὡς ἐδούλευσεν, ἢ ὡς ἀφείθη ἐλευθέ-
B ρα. νῦν δὲ τούτων μὲν ἀπέδειξεν οὐδέν. λελοιδόρηκε δὲ ὡς ἐμοὶ δοκεῖ οὐδέν τι. τοῦτο γάρ ἐστιν ὁ συκοφάντης, αἰτιᾶσθαι μὲν πάντα, ἐξελέγξαι δὲ μηδέν. ἔπειτα κἀκεῖνο περὶ τῆς μητρὸς εἴρηκεν, ὅτι ἐτίτθευσεν. ἡμεῖς δὲ ὅτε ἡ πόλις ἠτύχει, καὶ πάντες κακῶς ἔπραττον, οὐκ ἀρνούμεθα τοῦτο γενέσθαι. ὃν δὲ τρόπον καὶ ὧν ἕνεκα ἐτίτθευσεν, ἐγὼ σαφῶς ὑμῖν ἐπιδείξω. μηδεὶς δ' ὑμῶν, ὦ ἄνδρες ἀθηναῖοι, δυσχερῶς ὑπολάβῃ. καὶ γὰρ νῦν ἀστὰς γυναῖκας πολλὰς εὑρήσετε τιτθευούσας, ἃς ὑμῖν καὶ κατ' ὄνομα, ἐὰν βούλησθε, ἐροῦμεν. εἰ δέ γε πλούσιοι ἦμεν, οὔτ' ἂν τὰς ταινίας ἐπωλοῦμεν, οὔτ' ἂν ὅλως ἦμεν ἄποροι. ἀλλὰ τί ταῦτα κοινωνεῖ τῷ γένει; ἐγὼ μὲν οὐδὲν οἶμαι. μηδαμῶς, ὦ ἄνδρες δικασταί, τοὺς πένητας ἀτιμάζετε. ἱκανὸν γὰρ αὐτοῖς τὸ πένεσθαι κακόν· μηδέ γε τοὺς ἐργάζεσθαι καὶ ζῆν ἐκ τοῦ δικαίου προαιρουμένους· ἀλλ' ἀκούσαντες, ἐὰν ὑμῖν ἐπιδεικνύω τῆς μητρὸς τοὺς οἰκείους, οἵους προσήκειν εἶναι ἀνθρώποις ἐλευθέροις, ἐὰν καταιτιᾶται περὶ αὐτῆς ταύτας τὰς διαβολάς, ἐξομνυμένους, καὶ μαρ-
C τυροῦντας, αὐτὴν ἀστὴν οὖσαν εἰδέναι, οὓς ὑμεῖς φήσετε πιστοὺς εἶναι, καὶ δικαίαν ἡμῖν θέσθε τὴν ψῆφον. ἐμοὶ γὰρ ἦν πάππος, ὦ ἄνδρες ἀθηναῖοι, τῆς μητρὸς πατὴρ δαμόστρατος μελιτεύς. τούτῳ γίγνονται τέτταρες παῖδες. ἐκ μὲν ἧς τὸ πρῶτον ἔσχε γυναικὸς θυγάτηρ καὶ υἱός, ᾧ ὄνομα ἀμυθέων· ἐκ δὲ τῆς ὕστερον χαιρεστράτης ἡ μήτηρ ἡ ἐμή, καὶ τιμοκράτης. τούτοις δὲ γίγνονται παῖδες, τῷ μὲν ἀμυθέωνι δαμόστρατος τοῦ πάππου τοὔνομα ἔχων, καὶ καλλίστρατος, καὶ δεξίθεος. καὶ ὁ μὲν ἀμυθέων ὁ τῆς μητρὸς ἀδελφὸς τῶν ἐν σικελίᾳ στρατευσαμένων καὶ τελευτησάντων ἐστί· καὶ τέθαπται ἐν τοῖς δημοσίοις μνήμασι· καὶ ταῦτα μαρτυρήσεται. τῇ δὲ ἀδελφῇ αὐτοῦ συνοικησάσῃ διοδώρῳ ἁλαιεῖ υἱὸς γίνεται κτησίβιος. καὶ οὗτος μὲν ἐτελεύτησεν ἐν ἀβύδῳ, μετὰ θρασυβούλου στρατευόμενος. ζῇ δὲ τούτων ὁ δαμόστρατος, ὁ τοῦ ἀμυθέωνος τῆς μητρὸς ἀδελφιδοῦς τῆς ἐμῆς. τῆς δὲ χαιρεστράτης, τῆς ἐμῆς τίτθης, τὴν ἀδελφὴν λαμβάνει ἀπολλόδωρος πλωθεύς. τούτων γίνεται ὀλύμπιχος· τοῦ δὲ ὀλυμπίχου, ἀπολλόδωρος, καὶ οὗτος ζῇ. καί μοι κάλει αὐτούς.

Μάρτυρες.

Τούτων μὲν τοίνυν ἀκηκόατε μαρτυρούντων καὶ διομνυμένων. τὸν δὲ καὶ ὁμομήτριον καὶ κατ' ἀμφότερ' ἡμῖν συγγενῆ καλῶ, καὶ τοὺς υἱεῖς αὐτοῦ. τῷ γὰρ τιμοκράτει τῷ τῆς μητρὸς ἀδελφῷ τῆς ἐμῆς ὁμοπατρίῳ καὶ ὁμομητρίῳ γίνεται εὐξίθεος· τοῦ δ' εὐξιθέου τρεῖς υἱεῖς. οὗτοι πάντες ζῶσι. καί μοι κάλει τοὺς ἐπιδημοῦντας αὐτῶν.

Μάρτυρες.

Λαβὲ δή μοι καὶ τὰς μαρτυρίας τῶν φρατέρων καὶ συγγε-

νῶν

ναν τῶν τῆς μητρὸς καὶ δημοτῶν, καὶ ὧν τὰ μνήματα ταὐτά. A

Μαρτυρίαι.

Τὰ μὲν τοίνυν τοῦ γένους τοῦ τῆς μητρὸς, οὕτως ὑμῖν ἐπιδεικνύω, καὶ πρὸς ἀνδρῶν καὶ πρὸς γυναικῶν ἀστήν. τῇ δὲ μητρὶ τῇ ἐμῇ γίγνεται, ὦ ἄνδρες δικασταὶ, τὸ μὲν πρῶτον ἐκ Πρωτομάχου, ᾧ αὐτὴν ὁ Τιμοκράτης ὁμομήτριος καὶ ὁμοπάτριος ὢν ἀδελφὸς ἔδωκε, θυγάτηρ· εἶτα ἐκ τοῦ πατρὸς τοῦ ἐμοῦ, ἐγώ. ὃν δὲ τρόπον τῷ πατρὶ τῷ ἐμῷ συνῴκησε, ταῦθ᾽ ὑμᾶς ἀκοῦσαι δεῖ. καὶ γὰρ ἃ περὶ τὴν Κλεινίαν αἰτιᾶται, καὶ τὸ τιτθεῦσαι τὴν μητέρα, καὶ ταῦτα πάντα ἐγὼ σαφῶς ὑμῖν διηγήσομαι. ὁ Πρωτόμαχος πένης ἦν· ἐπικλήρου δὲ κληρονομήσας εὐπόρου, τὴν μητέρα βουληθεὶς ἐκδοῦναι, πείθει λαβεῖν αὐτὴν τὸν Θούκριτον τὸν πατέρα τὸν ἐμὸν, ὄντα ἑαυτοῦ γνώριμον· καὶ ἐγγυᾶται ὁ πατὴρ τὴν μητέρα τὴν ἐμὴν παρὰ τοῦ ἀδελφοῦ αὐτῆς Τιμοκράτους Μελιτέως, παρόντων τῶν θείων ἀμφοτέρων τῶν ἑαυτοῦ, καὶ ἄλλων μαρτύρων. καὶ τούτων ὅσοι ζῶσι μαρτυρήσουσιν ἡμῖν. μετὰ δὲ B ταῦτα χρόνῳ ὕστερον παιδίων αὐτῇ δυοῖν ἤδη γεγενημένων, καὶ τοῦ μὲν πατρὸς στρατευομένου, καὶ ἀποδημοῦντος μετὰ Θρασυβούλου, αὐτὴ δὲ οὖσα ἐν ἀπορίαις, ἠναγκάσθη τὸν Κλεινίαν τὸν τοῦ Κλειδίκου τιτθεῦσαι, τῷ μὲν εἰς ἐμὲ ἥκοντι κινδύνῳ νῦν μὰ τὸν Δία, οὐχὶ συμφέρον πρᾶγμα ποιήσασα. ἀπὸ γὰρ ταύτης τῆς τιτθείας ἅπασα ἡ περὶ ἡμᾶς γέγονε βλασφημία· τῇ μέν τοι ὑπαρχούσῃ πενίᾳ ἴσως καὶ ἀναγκαῖα, καὶ ἁρμόττοντα ποιοῦσα. φαίνεται τοίνυν οὐχ ὁ ἐμὸς πατὴρ, ὦ ἄνδρες Ἀθηναῖοι, πρῶτος λαβὼν τὴν ἐμὴν μητέρα, ἀλλ᾽ ὁ Πρωτόμαχος, καὶ παῖδας ποιησάμενος, καὶ θυγατέρα ἐκδοὺς, ὃς καὶ τετελευτηκὼς ὅμως μαρτυρεῖ τοῖς ἔργοις, ἀστὴν ταύτην καὶ πολῖτιν εἶναι. ὡς οὖν ταῦτ᾽ ἀληθῆ λέγω, κάλει μοι πρῶτον μὲν τοὺς τοῦ Πρωτομάχου υἱεῖς, ἔπειτα τοὺς ἐγγυωμένῳ παρόντας τῷ πατρί. καὶ τῶν φρατόρων τοὺς οἰκείους, οἷς τὴν γαμηλίαν εἰσήνεγκεν ὑπὲρ τῆς μητρὸς ὁ πατήρ. C εἶτα Εὔνικον Χολαργέα, τὴν ἀδελφὴν λαβόντα τὴν ἐμὴν παρὰ τοῦ Πρωτομάχου· εἶτα τὸν υἱὸν τῆς ἀδελφῆς. κάλει τούτους.

Μάρτυρες.

Πῶς οὖν οὐκ ἂν σχετλιώτατα, ὦ ἄνδρες Ἀθηναῖοι, πάντων ἐγὼ πεπονθὼς εἴην, εἰ τῶν συγγενῶν ὄντων τοσούτων τούτων, καὶ μαρτυρούντων καὶ διομνυμένων ἐμοὶ προσήκειν, μηδεὶς μηδενὶ τούτων ἀμφισβητεῖ, ὡς οὐκ εἰσὶ πολῖται, ἐμὲ ψηφίσαιντο εἶναι ξένον; λαβὲ δή μοι καὶ τὴν τοῦ Κλεινίου, καὶ τὴν τῶν συγγενῶν αὐτοῦ μαρτυρίαν. οἳ ἴσασι δήπου, τίς οὖσά ποτε ἡ ἐμὴ μήτηρ ἐτίτθευσεν αὐτόν. οὐ γὰρ ἃ τήμερον ἡμεῖς φαμὲν, εὔορκοι αὐτοῖς μαρτυρεῖν, ἀλλ᾽ ἃ πάντα τὸν χρόνον ᾔδεσαν αὐτὴν, ἡμετέραν μὲν μητέρα, τίτθην δὲ τούτου νομιζομένην. καὶ γὰρ εἰ ταπεινὸν ἡ τίτθη, τὴν ἀλήθειαν οὐ φεύγω. οὐ γὰρ εἰ πένητες ἦμεν, ἠδικήκαμεν, ἀλλ᾽ εἰ μὴ πολῖται· οὐδὲ περὶ *ψυχῆς, οὐδὲ περὶ χρημάτων ἡμῖν ἐστὶν ὁ παρὼν ἀγὼν, ἀλλ᾽ ὑπὲρ γένους. πολλὰ ταπεινὰ καὶ δουλικὰ πράγματα τοὺς ἐλευθέρους ἡ πενία βιάζεται ποιεῖν· ἐφ᾽ οἷς ἐλεοῖντ᾽ ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, δικαιότερον, ἢ προσαπολλύοιντο. ὡς γὰρ ἐγὼ ἀκούω, πολλαὶ καὶ τίτθαι καὶ ἔριθοι καὶ τρυγήτριαι γεγόνασιν ὑπὸ τῶν τῆς πόλεως κατ᾽ ἐκείνους τοὺς χρόνους συμφορῶν ἀσταὶ γυναῖκες· πολλαὶ δ᾽ ἐκ πενήτων πλούσιαι νῦν. ἀλλ᾽ αὐτίκα ὑπὲρ τούτων· νῦν δὲ τοὺς μάρτυρας κάλει.

Μάρτυρες.

Οὐκοῦν ὅτι μὲν καὶ τὰ πρὸς μητρὸς εἰμὶ ἀστὸς, καὶ τὰ πρὸς πατρὸς, τὰ μὲν ἐξ ὧν ἄρτι μεμαρτύρηται, μεμαθήκατε πάντες· τὰ δ᾽ ἐξ ὧν πρότερον περὶ τοῦ πατρός. λοιπὸν δέ μοι περὶ ἐμαυτοῦ πρὸς ὑμᾶς εἰπεῖν, τὸ μὲν ἁπλούστατον οἶμαι καὶ δικαιότατον, ἐξ ἀμφοτέρων ἀστῶν ὄντα με, κεκληρονομηκότα καὶ τῆς οὐσίας καὶ τοῦ γένους εἶναι πολίτην· οὐ μὴν ἀλλὰ καὶ τὰ προσήκοντα πάντα ἐπιδείξω μάρτυρας

A tris,& municipũ,& quorũ eadem monumenta ſunt.

TESTIMONIA.

Genus igitur maternum tale demonſtro vobis,& eã oſtendo à viris & mulierib. eſſe ciuem. Matri autem meæ naſcitur, Iudices, primùm è Protomacho, cui eã Timocrates frater vterinus & germanus deſponderat, filia. Deinde è patre meo, ego. Quo aũt pacto patri meo nupſerit, vobis eſt cognoſcendũ. Nã & quæ de Clinia criminatur,& de nutricio matris miniſterio: illa etiã ego vobis omnia perſpicuè narrabo. Protomachus pauper fuit: Ad quem cũ pupilla locuples hæreditate veniſſet: elocuturus matrẽ meam, Thucrito, patri meo, familiari ſuo perſuadet, vt eam ducat. Sic deſpondetur patri meo mater mea, per Timocratem Melitenſem, præſentibus vtriſque patruis eius, & aliis teſtibus:& horũ qui ſuperſtites ſunt, nobis teſtimoniũ dicent. His factis, aliquanto pòſt, cũ duos iam liberos peperiſſet, patre militãte peregrè, ductu B & auſpiciis Thraſybuli: ipſa inopia conflictans, coacta eſt Cliniam Clidici filium lactare. quo facto, ꝙ ad id periculum attinet, in quo nunc ego verſor: malè mihi conſuluit, fateor equidem. (Nam ab ea lactatione omnia quæ in nos congeruntur maledicta, oriuntur) ſed tamen illius temporis inopiæ,& neceſſaria ſanè fecit,& congruentia. Cõſtat igitur patrem meum non primùm duxiſſe matrem meam, ſed Protomachum & liberos procreaſſe,& filiam elocaſſe: qui etſi mortuus eſt, ipſis tamen factis teſtatur, eam &*vrbanam,& ciuem fuiſſe. Hæc me verè dicere vt appareat, primũ mihi voca Protomachi filios. Deinde eos qui ſponſalibus patris interfuerunt,& è curialibus cognatos, quibus nuptiale munus contulit pro matre pater. Pòſt Eunicum Cholargenſem, qui ſororem meam accepit à Protomacho. Deinde filiũ ſororis. voca hos.

TESTES.

C An non igitur indigniſſimè omnium hominum agitur mecum, Athenienſes, quod cùm tot cognati mihi ſint, híque & teſtificentur,& deierent, ſe mihi cognatos eſſe,& horum nemo in ius vocetur, quaſi ciues non ſint, iſti tamen pronunciarunt, me eſſe peregrinum? Cape mihi & Cliniæ,& cognatorum eius teſtimonium, qui norunt haud dubiè, quænam mater mea fuerit, quæ mammam illi præbuit. Neque enim id ab eis iuriſiurãdi religio poſtulat, vt quæ nos hodie dicimus, ea teſtificentur: ſed vt ea quæ omni tempore comperta habuerunt eam & ſuam nutricẽ,& noſtrã fuiſſe matrẽ exiſtimatã. Tametſi.n. humile quiddam eſt nutricis vocabulũ: veritatẽ tamẽ nõ detrecto. Nõ .n. ſi pauperes fuimus, cuiquã iniuriã fecimus: ſed ſi ciues nõ fuimus: neque in hoc iudicio vel *vita, vel pecunia noſtra agitur: ſed genus. Multas humiles & ſeruiles operas ingenuos homines paupertas facere cogit: ob quas cõmiſerationẽ potius, quàm internecionẽ merẽtur. Vt.n. ego audio, multę mulieres ciues,& nutrices,& mercenariæ,& vindemitrices factę ſunt, propter reipublicæ illorum temporum calamitates. Multæ item ex pauperibus nunc locupletatę ſunt. Sed de his ſtatim. nunc teſtes voca.

TESTES

Me igitur & à matre eſſe ciuẽ,& à patre: partĩ ex dictis teſtiũ modò cognouiſtis, partĩ ex iis quę pri’ de patre dicta sũt. Reſtat igitur, vt de me ipſo apud vos dicã. Quod igitur ſimpliciſſimũ eſt,& iuſtiſſimũ, cũ ex vtriſq; parẽtib. ſim ciuis, cũ & hęreditatẽ & genus ſim cõſecutus: me eſſe ciuẽ affirmo: ſed tamẽ omnia quę conueniunt, à me eſſe præſtita, probabo teſtibus

productis: vt introductus ſim ad Curiales; vt in municipium ſim adſcriptus: vt ab iſtis ipſis delectus ſim vt inter nobiliſſimos de ſacerdotio Herculis ſortiter vt magiſtratus geſſerim approbatus. Voca mihi eos.

TESTES.

Quàm aũt abſurdum fuerit, Iudices, ſi ita mihi obuenisset ſacerdotium, vt delectus fuerã, opportuiſſe me pro iſtis ſacrificare, & iſtos vnà ſacrificare mecum: nunc aũt eoſdem iſtos nõ permittere, vt ego vnà cũ eis ſacra faciam? Conſtat igitur, Athenienſes, me per omne reliquum tẽpus, apud oẽs eos, qui me nunc accuſant, ciuem eſſe habitum. Neque enim peregrinũ & inquilinum, vt nunc ait Eubulides, vel magiſtratus gerere, vel ſacerdotium ſortiri, ſecum delectum ſiuiſſet. Nam & ipſe fuit è ſortientib. & delectis. Neque etiam, cum vetus ei mecũ ſimultas intercederet in hoc vſque tẽpus diſtuliſſet: quod an vnquam futurum eſſet, nemo præſciuit, ſi quid de me tale cõpertũ habuiſſet: ſed nõ compertum habuit. Quapropter per tẽpus omne reliquum, cũ & municipium & ſortitionem mecũ cómunem haberet: nihil horum perſpexit. Poſtquã aũt ciuitas vniuerſa in eos qui ſe petulanter in municipia ingeſſerant, iracundè concitata fuit: tum inſidias mihi cõparauit. Fuiſſet aũt illud quidem tẽpus hominis veritate fieri hoc aũt, ꝙ nũc adeſt, inimici eſt, qui de induſtria calumnietur. Ego aũt Athenienſes (neque, per deos oro quiſquam mihi obturbet, neq; id quod dicturus ſum, ægrè ferat) me Athenienſẽ eſſe duco, vt veſtrûm quilibet ſeſe: & eã eſſe mihi matrẽ ab initio puto, quam apud vos oſtendo neque, alterius ſum, hanc autem mihi vendico: patrem rurſus eodẽ modo. At ſi qui eorum, in quos inquiritur, cũ eos quorũ ſunt, occultãt, eorũ verò eſſe ſeſe, quorũ nõ ſunt, ſimulant, eo ipſo argumẽto nõ iniuria peregrini apud vos iudicãtur: de me cõtrariũ vtique ſentiẽdũ erit, ciuẽ eſſe me. Neq; .n. peregrinum & peregrinam parentes eſſe meos profitẽdo, frui ciuitate inſtituiſſem: ſed ſi quid tale mihi cõſcius eſſem, quæritaſſem, quorum me filiũ eſſe dicerẽ, ſed nihil erã cõſcius. Quapropter eos parẽtes, qui ſunt, vt æquũ eſt, retinẽs, ciuis eſſe ſtudeo. Iã etſi pupillus relictus ſum: tamẽ me dicũt eſſe locupletẽ: & teſtiũ quoſdã propter emolumẽta ſe mihi cognatos eſſe dicere. Ita ſimul & probra paupertatis & generis obſcuritatẽ obiiciũt: ſimul propter diuitias omnia mercari me dicunt. Proinde vtra horum eis credenda ſunt? Licuiſſet nimirum eis, ſi peregrinus aut nothus ego eſſẽ, omnium mearum opum capere hæreditatẽ. Itáne hi paucula accipere, & falſi teſtimonij actionem & periculum expectare, & peierare, malunt, quàm tenere omnia, eáque ſecurè, neque vllis ſe diris & deuotionibus obſtringere? Nõ ita res habet nimirum: ſed cognati cũ ſint, vni ſuorum, vt rectum eſt, opitulãtur. Neq; hęc nũc tantũ impulſu meo faciũt: ſed tũ puerulus etiãnũ fui, me ſtatĩ ad Curiales duxerũt, in ædẽ Apollinis patrij duxerunt, in reliqua itẽ tẽpla. Neque verò ego dũ puer fui, eis perſuaſi, vt illa facerẽt ſcilicet, argẽto dato: ſed & pater dũ vixit legitimo iureiurando dato Curialibus, me ciuẽ introduxit, cũ ex ciue deſpõſa ſibi natum ſciret: & hęc teſtes affirmarunt. Poſtea ego ſum peregrinus? Vbi tributum inquilinorum pependi, aut vllus meorũ vnquã? quando ad alios municipes acceſſi, & quũ eis, vt me reciperẽt, perſuadere nõ potuiſſẽ, huc me inſcripſi? Vbi? quibus rationibus? quibus illos qui germani ciues nõ ſũt, vti cõſtat? Nuſquã. quomodo tãdẽ in eo municipio, in quo auꝰ, patris mei pater, in quo pater meus verſatꝰ eſt, in quo me verſatũ eſſe cõſtat:

Teſtes à ſe non eſſe cõductos.

A παρεχόμενος, ὡς εἰσήχθην εἰς τοὺς φράτερας, ὡς ἐνεγράφειν εἰς τοὺς δημότας, ὡς ὑπ' αὐτῶν τούτων προεκρίθην ἐν τοῖς εὐγενεστάτοις κληροῦσθαι τῆς ἱερωσύνης τῷ Ἡρακλεῖ, ὡς ἦρχον ἀρχὰς δοκιμασθείς. καί μοι κάλει αὐτούς.

Μάρτυρες.

Οὐκοῦν δεινόν, ὦ ἄνδρες δικασταί, εἰ μὲν ἔλαχον ἱερεὺς ὥσπερ προεκρίθην, ἔδει ἄν με καὶ αὐτὸν θύειν ὑπὲρ τούτων, καὶ τούτους μετ' ἐμοῦ συνθύειν· νῦν δὲ τοὺς αὐτοὺς τούτους μηδ' αὐτῶν οὐδὲ συνθύειν ἐᾶν; φαίνομαι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν μὲν ἄλλον χρόνον ἅπαντα παρὰ πᾶσι τοῖς νῦν κατηγοροῦσι πολίτης ὡμολογημένος. οὐ γὰρ ἄν δήπου τόν γε ξένον καὶ μέτοικον, ὡς νῦν φησιν Εὐβουλίδης, οὔτ' ἀρχὰς ἄρχειν, οὔτ' ἱερωσύνην κληροῦσθαι μεθ' ἑαυτοῦ προκριθέντα εἴασε. καὶ γὰρ οὗτος ἦν τῶν κληρουμένων καὶ προκριθέντων. οὐδέ γ', ὦ ἄνδρες Ἀθηναῖοι, παλαιὸς ἂν ἐχθρὸς ὢν ἐμοὶ τοῦτον τὸν καιρὸν περιέμενεν, ὃν οὐδεὶς ᾔδει γενησόμενον, εἴπερ τι συνῄδει τοιοῦτον. ἀλλ' οὐ συνῄδει. διόπερ τὸν μὲν B ἄλλον ἅπαντα χρόνον δημοτευόμενος μετ' ἐμοῦ, καὶ κληρούμενος, οὐδὲν ἑώρα τούτων. ἐπειδὴ δὲ ἡ πόλις πᾶσα τοῖς ἀσελγῶς εἰσπεπηδηκόσιν εἰς τοὺς δήμους ὀργιζομένη παρωξύνετο, τηνικαῦτα μοι ἐπεβούλευσεν. ἦν δ' ἐκεῖνος μὲν ὁ καιρὸς τοῦ συνειδότος αὑτῷ τἀληθῆ λέγειν· ὁ δὲ νυνὶ παρὼν, ἐχθροῦ, καὶ συκοφαντεῖν βουλομένου. ἐγὼ δέ, ὦ ἄνδρες δικασταί (καί μοι πρὸς Διὸς καὶ θεῶν μηδεὶς θορυβήσῃ, μηδ' ἐφ' ᾧ μέλλω λέγειν ἀχθεσθῇ) ἐμαυτὸν Ἀθηναῖον ὑπείληφα ὥσπερ ὑμῶν ἕκαστος ἑαυτόν, μητέρα ἐξ ἀρχῆς νομίζων ἥνπερ εἰς ὑμᾶς ἀποφαίνω, καὶ οὐχ ἑτέρας μὲν ὤν, ταύτης δὲ προσποιούμενος, πατέρα πάλιν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν αὐτὸν τρόπον. καίτοι εἰ τοῖς ἐξελεγχομένοις ὧν μέν εἰσιν ἀποκρυπτομένοις, ὧν δ' οὐκ εἰσὶ προσποιουμένοις δίκαιον ὑπάρχειν παρ' ὑμῖν τοῦτο σημεῖον, ὡς εἰσὶ ξένοι· ἐμοὶ δήπου τοὐναντίον ὡς εἰμὶ πολίτης. οὐ γὰρ ξένην καὶ ξένον τοὺς ἐμαυτοῦ γονέας ἐπιγραψάμενος, μετέχειν ἠξίουν τῆς πόλεως· ἀλλ' εἴ τι τοιοῦτον συνῄδειν, ἐζήτησα ἂν φήσω γονέων εἶναι. ἀλλ' C οὐ συνῄδειν. διόπερ μένων ἐπὶ τοῖς οὖσι δικαίως γονεῦσιν ἐμαυτοῦ, τῆς πόλεως μετέχειν ἀξιῶ. ἔτι τοίνυν ὀρφανὸς κατελείφθην, καὶ φασί με εὔπορον εἶναι, καὶ τῶν μαρτύρων ἐνίους ὠφελουμένους μοι μαρτυρεῖν συγγενεῖς εἶναι. καὶ ἅμα μὲν κατ' ἐμοῦ λέγουσι τὰς ἐκ τῆς πενίας ἀδοξίας, καὶ περὶ τὸ γένος διαβάλλουσιν· ἅμα δὲ δι' εὐπορίαν φασὶ πάντα με ὠνεῖσθαι. ὥστε πότερα χρὴ αὐτοῖς πιστεύειν; ἐξῆν δὲ δήπου εἰ νόθος ἢ ξένος ἦν ἐγώ, κληρονόμοις εἶναι τῶν ἐμῶν πάντων. εἶθ' οὗτοι μικρὰ λαμβάνειν καὶ κινδυνεύειν ἐν ψευδομαρτυρίαις, καὶ ἐπιορκεῖν μᾶλλον αἱροῦνται, ἢ πάντ' ἔχειν καὶ ταῦτ' ἀσφαλῶς καὶ μηδεμιᾶς ἐξωλείας ὑπόχους ἑαυτοὺς ποιεῖν; οὐκ ἔστι ταῦτα. ἀλλ' οἶμαι συγγενεῖς ὄντες, τὰ δίκαια ποιοῦσι, βοηθοῦντες αὑτῶν ἑνί. καὶ ταῦτα οὐχὶ νῦν πεπεισμένοι ποιοῦσιν, ἀλλὰ παιδίον ὄντα με εὐθέως ἦγον εἰς τοὺς φράτορας, εἰς Ἀπόλλωνος πατρῴου ἦγον, εἰς τἄλλα ἱερά. καίτοι οὐ δήπου παῖς ὢν ἐγὼ ταῦτα ἔπειθον αὐτούς, ἀργύριον διδούς. ἀλλὰ μὴν ὁ πατὴρ αὐτὸς ζῶν, ὀμόσας τὸν νόμιμον τοῖς φράτορσιν ὅρκον εἰσήγαγέ με, ἀστὸν ἐξ ἀστῆς ἐγγυητῆς αὐτῷ γεγενημένον εἰδώς, καὶ ταῦτα μεμαρτύρηται. εἶτ' ἐγὼ ξένος; ποῦ μετοίκιον καταθείς, ἢ τίς τῶν ἐμῶν πώποτε; ποῦ πρὸς ἄλλους δημότας ἐλθών, καὶ οὐ δυνηθεὶς ἐκείνους πεῖσαι, δεῦρ' ἐμαυτὸν ἐνέγραψα; ποῦ; τί ποιήσας, ὧν ὅσοι μὴ καθαρῶς ἦσαν πολῖται πεποιηκότες φαίνονται; οὐδαμοῦ· ἀλλὰ πῶς; ἐν οἷς ὁ πάππος ὁ τοῦ πατρός, ὁ ἐμὸς πατήρ, ἐνταῦθα καὶ αὐτὸς φαίνομαι δημοτευόμενος,

καὶ νῦν πῶς ἄν τις ὑμῖν σαφέστερον ἐπιδείξειεν με τὸν τῆς πόλεως αὐτοῦ; ἐνθυμείσθω γὰρ ἕκαστος ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς ἑαυτοῦ προσήκοντας. τίν' ἄλλον ἂν δύναιτο ἐπιδεῖξαι τρόπον, ἢ τὸν αὐτὸν ἐμοί, μαρτυροῦντας, ὀμνύοντας, πάλαι τοὺς αὐτοὺς ἀπὸ τῆς ἀρχῆς ὄντας. διὰ ταῦτα τοίνυν ἐγὼ πιστεύων ἐμαυτῷ, κατέφυγον εἰς ὑμᾶς. ὁρῶ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ μόνον τῶν ἀποψηφισαμένων Ἁλιμουσίων ἐμοῦ, κυριώτερα ὄντα τὰ δικαστήρια, ἀλλὰ καὶ τῆς βουλῆς, καὶ τοῦ δήμου, δικαίως. κάλλισται γὰρ πάντα αἱ παρ' ὑμῖν εἰσι κρίσεις δικαιόταται. ἐνθυμεῖσθε τοίνυν κἀκεῖνο ὅσοι τῶν μεγάλων δήμων ἐστέ, ὡς οὐδὲν ἀποστερεῖτε, οὔτε κατηγορίας, οὔτε ἀπολογίας. καὶ πολλὰ ἀγαθὰ γένοιτο πᾶσιν ὑμῖν τοῖς δικαίως τούτῳ τῷ πράγματι χρησαμένοις, ὅτι καὶ τῶν ἀναβαλέσθαι δεομένων, οὐκ ἀφῄρησθε τὸ παρασκευάσασθαι. ὃ καὶ τοὺς συκοφαντοῦντας καὶ δι' ἔχθραν ἐπιβουλεύοντας ἐξελέγχετε. καὶ ὑμᾶς μὲν ἐπαινεῖν ἄξιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς δὲ καλῷ καὶ δικαίῳ πράγματι μὴ καλῶς χρησαμένους ψέγειν. ἐν οὐδενὶ τοίνυν εὑρήσετε τῶν δήμων δεινότερα γεγενημένα B τῶν παρ' ἡμῖν. οὗτοι γὰρ ἀδελφῶν ὁμομητρίων καὶ ὁμοπατρίων, τῶν μὲν εἰσὶν ἀπεψηφισμένοι, τῶν δ' οὔ. καὶ πρεσβυτέρων ἀνθρώπων ἀπόρων, ὧν τοὺς υἱεῖς ἐγκαταλελοίπασι. καὶ τούτων ἂν βούλησθε μάρτυρας παρέξομαι. ὃ δὲ πάντων δεινότατον, οἱ συνεστηκότες πεποιήκασι (καί μοι πρὸς Διὸς καὶ θεῶν μηδεὶς ὑπολάβῃ δυσκόλως, ἐὰν τοὺς ἠδικηκότας ἐμαυτὸν πονηροὺς ὄντας ἐπιδεικνύω. νομίζω γὰρ ὑμῖν τὴν τούτων πονηρίαν δεικνύς, αὐτὸ τὸ πρᾶγμα λέγειν τὸ γεγενημένον μοι) οὗτοι γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, βουλομένους τινὰς ἀνθρώπους ξένους πολίτας γενέσθαι Ἀναξιμένην καὶ Νικόστρατον κοινῇ διανειμάμενοι, πέντε δραχμὰς ἕκαστος προσεδέξατο. καὶ ταῦτα οὐκ ἂν ἐξομόσαιτο Εὐβουλίδης, οὐδὲ οἱ μετ' αὐτοῦ μὴ οὐκ εἰδέναι. καὶ νῦν τούτων οὐκ ἀπεψηφίσαντο. τί οὖν; οὐκ ἂν οἴεσθε τούτους ἰδίᾳ ποιῆσαι, οἳ κοινῇ ταῦτ' ἐτόλμων; πολλούς, ὦ ἄνδρες δικασταί, οἱ μετ' Εὐβουλίδου συνεστῶτες, καὶ ἀπολωλέκασι καὶ σεσώκασιν ἕνεκ' ἀργυρίου. ἐπεὶ καὶ τὸ πρότερον (ἐρῶ δ' εἰς αὐτὸ τὸ πρᾶγμα, ὦ ἄνδρες Ἀθηναῖοι) C δημαρχῶν ὁ Εὐβουλίδου πατήρ, ὥσπερ εἶπον, Ἀντίφιλος, τεχνάζει, βουλόμενος παρά τινων λαβεῖν ἀργύριον· καὶ ἔφη, τὸ κοινὸν γραμματεῖον ἀπολωλέναι. ὥστε ἔπεισε διαψηφίσασθαι τοὺς Ἁλιμουσίους περὶ αὐτῶν. καὶ κατηγορῶν, δέκα τῶν δημοτῶν ἐξέβαλεν, οὓς ἅπαντας πλὴν ἑνὸς κατεδέξατο τὸ δικαστήριον. καὶ ταῦτα πάντες ἴσασιν οἱ πρεσβύτεροι. πολλοῦ γε ἔδεον τινὰς ἐγκαταλιπεῖν τῶν μὴ Ἀθηναίων, ὅπου καὶ τοὺς ὄντας πολίτας συνιστάμενοι ἐξέβαλον, οὓς τὸ δικαστήριον κατεδέξατο, καὶ ὢν ἐχθρὸς τῷ ἐμῷ πατρὶ τότε, οὐ μόνον οὐ κατηγόρησεν, ἀλλ' οὐδὲ τὴν ψῆφον ἤνεγκεν, ὡς οὐκ ἦν Ἀθηναῖος. τῷ τοῦτο δῆλον; ὅτι ἁπάσαις ἔδοξε δημότης. καὶ τί δεῖ περὶ τῶν πατέρων λέγειν; ἀλλ' Εὐβουλίδης αὐτὸς οὑτοσί, ἡνίκα ἐνεγράφην ἐγώ, καὶ ὀμόσαντες οἱ δημόται δικαίως πάντες περὶ ἐμοῦ τὴν ψῆφον ἔφερον, οὔτε κατηγόρησεν, οὔτε ἐναντίαν τὴν ψῆφον ἤνεγκε. καὶ γὰρ ἐνταῦθα πάλιν ἐμὲ πάντες ἐψηφίσαντο δημότην. καὶ εἴ φασί με τοῦτο ψεύδεσθαι, ἐπὶ τοῦ ἐμοῦ ὕδατος ὅστις βούλεται τούτων τἀναντία μαρτυρησάτω. εἰ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο δοκοῦσιν οὗτοι λέγειν μάλιστα ἰσχυρόν, ὡς ἀπεψηφίσαντό μου νῦν οἱ δημόται, ἐγὼ τετράκις ἐπιδεικνύω πρότερον, ὅτε ὁσίως ἄνευ συστάσεως ἐψηφίσαντο, καὶ ἐμὲ καὶ τὸν πατέρα δημότας αὐτῶν εἶναι ψηφισαμένους· πρῶτον μέν γε τοῦ πατρὸς δοκιμασθέντος, εἶτ' ἐμοῦ, εἶτ' ἐν τῇ προτέρᾳ* δοκιμασίᾳ ὅτε ἠφάνισαν οὗτοι τὸ γραμματεῖον, τὸ τελευταῖον προκρίναντες ἐμέ, ἐψηφίσαντο ἐν τοῖς εὐγενεστάτοις κληροῦσθαι τῆς ἱερωσύνης τοῦ Ἡρακλέους. καὶ ταῦτα πάντα μεμαρτύρηται.

& quo pacto nunc vobis euidentius quiſquam probet, ius ſibi eſſe ciuitatis? Cogitet enim vnuſquiſque veſtrûm, Athenienſes, quónam alio modo quàm ego feci, cognatos ſuos demonſtrare poſſet: cum pro teſtimonio dicant, cum iurent, cum olim iam inde à primordio iidem ſint? Quas ob res ego bonitate cauſæ fretus, ad vos confugi, quòd videam, Athenienſes iudiciorum maiorẽ eſſe autoritatẽ, non modò quàm Alimuſiorum, qui me eiecerunt: ſed etiam quàm ſenatus & populi: nec iniuria. Quicquid enim ſpectetur, ſententiæ veſtræ iuſtiſſimæ ſunt. Cogitate illud etiam, vos, qui è magnis municipiis eſtis, nulla re priuare quenquam, nec accuſatione, nec defenſione. ac multa bona vobis eueniant, qui ea re rectè vſi eſtis: qui iis etiam qui moram petierunt, parandi ſe facultatem non ademiſtis. Qua re & calumniatores, & eos qui propter ſimultatem aliis inſidiantur, conuincitis. Ac vos quidem laudandi eſtis, Atheniẽſes. Qui aũt re bona & iuſta malè ſunt abuſi, vituperandi. In nullo autem municipio, quàm in noſtro, crudelius eſſe actũ reperietis. In eo enim fratrum vterinorum & germanorum alios eiecerunt, alios non: & homines natu grandes, inopes, quorum filios retinuerunt. Harum etiam rerum ſi vultis, teſtimonia vobis exhibebo. Quódque omnium grauiſſimum eſt, factioſi id fecerunt. Neque per deos oro vos, in malam partem quiſquam veſtrũ accipiat, ſi eos qui me læſerunt, improbos eſſe oſtendero. Eorum .n. vobis improbitate demonſtranda, ipſam calamitatẽ quã accepi, narraturus mihi videor. Iſti, cùm quidã homines peregrini, ciues fieri vellẽt, Anaximenes & Nicoſtratus, cũmuniter quinas quiſq; drachmas inter ſe diſtribuerunt. hoc cum ſcire ſe neque Eubulides, neque gregales eius eiurare audeant, nunc tamẽ eos nõ eiecerũt. Quid aũt eos priuatim nõ facturos putatis, qui publicè hæc facere non dubitarunt? Multos, Athenienſes, Eubulidea factio & perdidit & conſeruauit, argenti gratia. Nam prius etiam (ad rem faciet quod dicam, Athenienſes) cum tribunus plebis eſſet Eubulidæ pater, vt dixi, Antiphilus cõmentum excogitat, vt à quibuſdam nũmos auferret: & ait, ſe cõmune albũ perdidiſſe. Quare perſuaſit Alimuſiis vt inter ſeſe ſuffragia ferrẽt: & accuſatos decem municipes eiecit: quos omnes præter vnum iudices receperunt. & hoc ſeniores omnes norunt. multum certè abfuit, vt aliquos relinquerent, qui Athenienſes non eſſent, cùm germanos etiam ciues per factionem eiicerent, quos iudicium recepit. cúmque patri meo tunc inimicus eſſet, non modò eum non accuſauit, ſed ne ſuffragiũ quidem de eo tulit, quaſi non eſſet Athenienſis. *Vnde id conſtat? quòd omnibus ſuffragiis ciuis eſt habitus. Et quid opus eſt de patribus dicere? cùm ipſe Eubulides, cùm ego inſcriberer, & municipes ita vt æquum eſt, iurati omnes ſuffragia de me ferrent, neque accuſarit, neque contrarium ſuffragium tulerit. Nam hic iterum omnes me municipem eſſe iudicarunt. Quòd ſi mentiri me dicunt: in mea aqua, quiſquis voluerit, teſtificetur horum contraria. Si igitur, Athenienſes, iſtorum id argumentum firmiſſimum eſſe videbitur, quòd municipes me iam eiecerunt: ego quater prius ſanctè, & ſine conſpiratione decreuiſſe eos oſtendam, cum decreuerunt & me & patrẽ eſſe municipes ſuos. Primùm, cùm pater probatus fuit: deinde, cũ ego: pòſt, in prima diſquiſitione, cũ iſti album occultaſſent: poſtremò, cum inter nobiliſſimos me delegerunt ad ſortitionem Herculani ſacerdotij. Atq; hęc omnia teſtimoniis cõprobata ſũt.

Iudiciorũ laus, & aduerſæ factionis criminatio.

A Quòd ſi tribunatus mihi referendus eſt, propter quē mihi quidam iraſcebantur (nam in eo inimicitias ſuſcepi, exigendo à multis conductiones lucorum, & alia quæ reipub. ſubtraxerant) equidem vos audire velim, ſed fortaſſe nihil ad rē facere exiſtimabitis. Illud quidē argumētū cōſpirationis eorū, ꝓferre poſſū quòd è iureiurando deleuerunt hæc verba: Sententiam feram animo æquiſſimo, nec gratiæ nec odij cauſa (nam id quoque deprehenſum eſt) & quòd arma per ſacrilegium abſtulerunt (dicetur enim) quæ ego Mineruæ conſecraram: & decretum exculpſerūt quo municipes me ornarant. Coniurarunt iſti contra me, à quibus ea quæ publicè debebantur, redegi: eóque venerunt impudentiæ, vt paſſim dicerent, ea me facere cauſa defenſionis. Quis verò me veſtrûm tantæ condemnet inſaniæ, Iudices, vt propter tantilla rei probandæ argumenta, facinus morte vindicandum auderem? & quæ mihi honorifica eſſent, ea abolerem? B Illud autem quod omnium eſt grauiſſimū non vtique dicent me autore eſſe factum. Cum primùm enim mihi calamitas accidiſſet: ſtatim iſtorū quidam, tanquam exuliam eſſem, & periiſſem, domunculam in agro noctu aggreſſi, inſtrumentum & ſuppellectilem auferre ſunt conati. Vſque adeò & vos & leges contempſerunt. Ac ſi vultis, huius rei cōſcios citabimus Etſi autem multa haberem quæ iſti perpetrarunt & ementiti ſunt, commemoranda, libentérque vobis exponerem: ea tamen cum præter rem eſſe putetis, omittam. Illa autem recordamini, & ſpectate, quantis argumentis fretus ad vos acceſſerim.

Peroratio per enumerationem, & commiſerationē.

Vt enim vos in Sexuiros inquiritis: ad eundem ego modum apud vos in me inquiram. Heus homo quis tibi pater fuit? mihi? Thucritus. Nunquid aliqui ſe cognatos eius eſſe teſtificantur? omnino. Primùm conſobrini quatuor, deinde ſobrinus: pòſt, qui cōſobrinas eius duxerunt. C Curiales item, nec non Apollinis patrij Iouis Hercei gētiles. Deinde ij quibus monumenta ſunt eadem. Deinde municipes, eum ſæpe & probatum eſſe, & magiſtratus geſſiſſe, ſuis ſuffragiis oſtenderunt. De patre igitur, quid vobis æquius aut ſincerius afferre potuiſſem? vocabo autem vobis cognatos, ſi vultis. De matre porrò audite: Mater mihi eſt Nicareta, filia Demoſtrati Melitenſis. Eius cognati, qui teſtimonium dicunt? Primùm patruellis filij duo, deinde conſobrini matris. Pòſt Protomachi filij, eius qui matrem meam prior habuit. Deinde qui ſororem meam ex Protomacho duxit, Eunicus Cholargenſis. Pòſt filius ſororis. quin & Curiones cognati matris, & municipes idem ſunt teſtificati. Quid igitur requiritis amplius? Nam & ex præſcripto legum contraxiſſe matrimonium patrem, & nuptiale munus obtuliſſe Curialibus, teſtes confirmarunt. Ad hæc autem meipſum quoque oſtendi, participaſſe res omnes quæ decent ingenuos. Quapropter ab omnibus partibus iure & conuenienter lato pro nobis ſuffragio, religioſè pronunciabitis. Iam etiam, Iudices, Sexuiros interrogatis, an parentibus benefaciant: ego verò à patre pupillus ſum relictus. Matrem, aūt obſecro vos & obteſtor, vt in patriis ſepelire monimētis hoc veſtro ſuffragio liceat: ne me prohibete, ne extorrē agite, ne cognatis ſpoliate, quorū tāta multitudo eſt: ne deniq; me perdite. Potius.n. quā eos deſerā, ſi ab eis cōſeruari nō potuero, meipſe interficiā: vt ſaltē ab eis in patria ſepeliar.

εἰ δὲ δεῖ τὴν δημαρχίαν λέγειν, δι᾽ ἣν ὀργίζονταί μοι τινὲς, ἐν ᾗ διάφορος ἐγενόμην εἰσπράττων ὀφείλοντας πολλοὺς αὐτῶν μισθώσεις τεμενῶν, καὶ ἕτερα ἃ τῶν κοινῶν διηρπάκεισαν, ἐγὼ μὲν ἂν βουλοίμην ὑμᾶς ἀκούειν· ἀλλ᾽ ἴσως ἔξω τοῦ πράγματος ὑπολήψεσθε ταῦτ᾽ εἶναι· ἐπεὶ καὶ τοῦτ᾽ ἔχω δεικνύναι τεκμήριον, ὡς συνέστησαν, ἔκ τε γὰρ τοῦ ὅρκου ἐξαλήλιφαν τὸ ψηφιεῖσθαι γνώμῃ τῇ δικαιοτάτῃ, καὶ οὔτε χάριτος ἕνεκα, οὔτε ἔχθρας. καὶ γὰρ τοῦτο φανερὸν ἐγένετο· καὶ ὅτι ἱεροσυλήσαντες τὰ ὅπλα, (εἰρήσεται γὰρ) ἃ ἐγὼ ἀνέθηκα τῇ Ἀθηνᾷ, καὶ τὸ ψήφισμα ἐκκολάψαντες, ὃ ἐμοὶ ἐψηφίσαντο οἱ δημόται. συνωμόμνυοι οὗτοι ἐπ᾽ ἐμὲ οἱ ἐπ᾽ ἐμοῦ τὰ κοινὰ εἰσπραχθέντες· καὶ εἰς τοσοῦτον ἀναιδείας ἐληλύθασιν, ὡς τὸν ἔλεγχον περιιόντες, ἐμὲ τῆς ἀπολογίας ἕνεκεν ταῦτα ποιῆσαι. καὶ τίς ὑμῶν ἂν καταγνοίη μου τοσαύτην μανίαν, ὦ ἄνδρες δικασταὶ, ὥς τε τηλικοῦτον ἕνεκεν πρὸς τὸ B πρᾶγμα τεκμηρίων ἄξια θανάτου διαπράξασθαι; καὶ ἃ ἐμοὶ φιλοτιμίαν ἔφερε ταῦτα ἀφανίζειν; τὸ δὲ πάντων δυνατώτατον, οὐ δήπου γε φήσαιεν ἂν ἐμὲ κατασκευάσαι· οὐ γὰρ ἔφθη μοι συμβᾶσα ἡ ἀτυχία, καὶ εὐθὺς ὥσπερ φυγάδος ἤδη μου ὄντος καὶ ἀπολωλότος, τούτων τινὲς ἐπὶ τὸ οἰκίδιον ἐλθόντες ἐν ἀγρῷ νύκτωρ ἐπεχείρησαν διαφορῆσαι τὰ ἔνδοθεν. οὕτω σφόδρα ὑμῶν καὶ τῶν νόμων καταπεφρόνησαν. καὶ ταῦτα τοὺς εἰδότας ἐὰν βούλησθε, *καλοῦμεν. πολλὰ δ᾽ ἔχων ἄλλα ἐπιδεῖξαι ἃ τούτοις ἐστὶ διαπεπραγμένα, καὶ ἃ εἰσιν ἐψευσμένοι, ἡδέως μὲν ἂν ὑμῖν λέγοιμι. ἐπειδὴ δὲ ἔξω τοῦ πράγματος νομίζετ᾽ εἶναι, ἐάσω. ἀναμνήσθητε δ᾽ ἐκείνων, καὶ θεάσασθε ὡς πολλὰ καὶ δίκαια ἔχων πρὸς ὑμᾶς ἥκω. ὥσπερ γὰρ τοὺς θεσμοθέτας ἀνακρίνετε, ἐγὼ τὸν αὐτὸν τρόπον ἐμαυτὸν ὑμῖν ἀνακρινῶ. ὦ ἄνθρωπε, τίς ἦν σοι πατήρ; ἐμοί; Θούκριτος. οἰκεῖοί τινες εἶναι μαρτυροῦ- C σιν αὐτῷ; πάνυ γε. πρῶτον μέν γε τέτταρες ἀνεψιοί. εἶτα ἀνεψιαδοῦς· εἶτα οἱ τὰς ἀνεψιὰς λαβόντες αὐτοῦ· εἶτα φράτορες. εἶτα Ἀπόλλωνος πατρῴου, καὶ Διὸς ἑρκείου γεννῆται. εἶτα οἷς ἠρία ταὐτά· εἶτα οἱ δημόται, πολλάκις αὐτὸν δεδοκιμάσθαι, καὶ ἀρχὰς ἄρξαι, καὶ αὐτοὶ διεψηφισμένοι φαίνονται. τὰ τοίνυν περὶ τοῦ πατρὸς, πῶς ἂν ὑμῖν δικαιότερον, ἢ καθαρώτερον ἐπιδείξαιμι; καλῶ δ᾽ ὑμῖν τοὺς οἰκείους, εἰ βούλεσθε. τὰ δὲ περὶ τῆς μητρὸς ἀκούσατε. ἐμοὶ γάρ ἐστι μήτηρ Νικαρέτη Δημοστράτου θυγάτηρ Μελιτέως. ταύτης τίνες οἰκεῖοι μαρτυροῦσι; πρῶτον μὲν ἀδελφιδοῦ δύο υἱοί· εἶτα ἀνεψιοὶ αὐτῆς· εἶτα οἱ Πρωτομάχου υἱεῖς τοῦ λαβόντος τὴν ἐμὴν μητέρα πρότερον· εἶτα ὁ τὴν ἀδελφὴν τὴν ἐμὴν τὴν ἐκ τοῦ Πρωτομάχου γήμας Εὔνικος Χολαργεύς· εἶτα υἱὸς τῆς ἀδελφῆς· ἀλλὰ μὴν καὶ φράτορες τῶν οἰκείων αὐτῆς καὶ δημόται, ταῦτα μεμαρτυρήκασι. τίνος οὖν ἂν προσδέοισθε; καὶ γὰρ ὅτι κατὰ τοὺς νόμους ὁ πατὴρ ἔγημε, καὶ γαμηλίαν τοῖς φράτορσιν εἰσήνεγκε, μεμαρτύρηται. πρὸς δὲ τούτοις καὶ ἐμαυτὸν ἐπέδειξα πάντων μετειληφότα, ὅσων προσήκει τοῖς ἐλευθέροις. ὥς τε πανταχῇ δικαίως καὶ προσηκόντως ἡμῖν ἂν προσθέμενοι τὴν ψῆφον εὐορκοίητε. ἔτι τοίνυν, ὦ ἄνδρες δικασταὶ, τοὺς ἐννέα ἄρχοντας ἀνακρίνετε, εἰ γονέας εὖ ποιοῦσιν· ἐγὼ δὲ τοῦ μὲν πατρὸς ὀρφανὸς κατελείφθην· τὴν δὲ μητέρα ἱκετεύω ὑμᾶς καὶ ἀντιβολῶ, διὰ τὸν τουτονὶ ἀγῶνα, ἀπόδοτέ μοι θάψαι εἰς τὰ πατρῷα μνήματα, καὶ μή με κωλύσητε, μηδὲ ἄπολιν ποιήσητε, μηδὲ τῶν οἰκείων ἀποστερήσητε, τοσούτων ὄντων τὸ πλῆθος, δὲ ὅλως ἀπολέσητε. πρότερον γὰρ ἢ προλείπειν τούτους, εἰ μὴ δυνατὸν ὑπ᾽ αὐτῶν εἴη σωθῆναι, ἀποκτείναιμ᾽ ἂν ἐμαυτὸν, ὥς ἐν τῇ πατρίδι γε ὑπὸ τούτων ταφῆναι.

TERTII TOMI FINIS.